fire becomes thus also the flesh I-say of-the incarnate
Υἱοῦ τοῦ Θεοῦ. Ἐκείνη γὰρ, τῇ καθ' ὑπόστασιν
Son — of-God that for by-the according-to hypostasis
μεθέξει τῆς θείας φύσεως, ἀτρέπτως Θεὸς ἐχρημάτισεν·
participation of-the divine nature unalterably God was-called
οὐκ ἐνεργείᾳ χρισθεῖσα Θεοῦ, ὥσπερ τῶν προφητῶν
not by-energy anointed of-God as of-the prophets
ἕκαστος, παρουσίᾳ δὲ ὅλου τοῦ χρίοντος. Ὅτι δὲ Θεὸς,
each by-presence but of-whole the anointing(-one) that and God
καὶ θεοὶ οἱ ἅγιοι, «ὁ Θεὸς, φησὶν, ἔστη ἐν συναγωγῇ
and gods the saints — God he-says stood in congregation
θεῶν.» Καὶ ὅτι ἵσταται Θεὸς ἐν μέσῳ θεῶν, τὰς ἀξίας
of-gods and that stands God in midst of-gods the ranks
διαιρῶν, ὡς ἑρμηνεύων φησὶν ὁ θεῖος Γρηγόριος. Οἱ γὰρ
distributing as interpreting says the divine Gregory the for

ἅγιοι καὶ ζῶντες πεπληρωμένοι ἦσαν Πνεύματος ἁγίου,
saints both living filled were with-Spirit holy
καὶ τελευτησάντων αὐτῶν, ἡ χάρις τοῦ ἁγίου Πνεύματος
and having-died them the grace of-the holy Spirit
ἀνεκφοιτήτως ἔνεστι καὶ ταῖς ψυχαῖς, καὶ τοῖς σώμασιν
without-departing is-present both in-the souls and in-the bodies
ἐν τοῖς τάφοις, καὶ τοῖς χαρακτῆρσι, καὶ ταῖς ἁγίαις
in the tombs and in-the portraits and in-the holy
εἰκόσιν αὐτῶν, οὐ κατ᾽ οὐσίαν, ἀλλὰ χάριτι καὶ ἐνεργείᾳ.
images their not by substance but by-grace and by-energy
Ὃν δὲ τῷ Δαβὶδ ἐπηγγείλατο ὁ Θεὸς οἰκοδομῆσαι 20
which and — to-David promised — God to-build
αὐτῷ ναὸν διὰ τοῦ ἰδίου υἱοῦ, καὶ κατασκευάσαι
for-him temple through the own son and to-prepare
τόπον ἀναπαύσεως, τοῦτον Σολομὼν οἰκοδομῶν, ἐποίησε
place of-rest this Solomon building made
Χερουβὶμ, ὥς φησιν ἡ βίβλος τῶν Βασιλειῶν. Καὶ περιέσχε
Cherubim as says the book of-the Kingdoms and he-overlaid
τὰ Χερουβὶμ χρυσίῳ, καὶ πάντας τοὺς τοίχους κύκλῳ· καὶ
the Cherubim with-gold and all the walls around and
κολαπτοὺς ἐνέγλυψε Χερουβὶμ, καὶ φοίνικας τῷ ἐσωτέρῳ
carved he-engraved Cherubim and palms in-the inner
καὶ ἐξωτέρῳ· καὶ οὐκ εἶπεν ἐκ πλαγίων, ἀλλὰ κύκλῳ·
and outer and not he-said at sides but around
καὶ βόας, καὶ λέοντας, καὶ ῥοΐσκους. Οὐ πολλῷ οὖν
and oxen and lions and pomegranates not by-much then
τιμιώτερον πάντας τοὺς τοίχους οἴκου Κυρίου κοσμῆσαι
more-honorable all the walls of-house of-(the)-Lord to-adorn
ἁγίων μορφαῖς καὶ εἰκονίσμασιν, ἤπερ ἀλόγων
of-saints with-forms and portraits than-indeed of-irrational(-beasts)
καὶ δένδρων; ποῦ ὁ διαγορεύων νόμος· «Οὐ ποιήσεις
and of-trees where the declaring law not you-shall-make

πᾶν ὁμοίωμα;» Ἀλλὰ σοφίας χύσιν δεξάμενος Σολομὼν,
any likeness but of-wisdom outpouring having-received Solomon
οὐρανὸν εἰκονίζων, ἐποίησε Χερουβὶμ, καὶ λεόντων, καὶ
heaven imaging made Cherubim and of-lions and
βοῶν ὁμοιώματα· τοῦτο δὲ ἀπαγορεύει ὁ νόμος. Εἰ δὲ
of-oxen likenesses this and forbids the law if and
ἡμεῖς Χριστὸν εἰκονίζοντες, καὶ ποιοῦμεν τὰ τῶν ἁγίων
we Christ imaging also we-make the of-the saints
εἰκονίσματα, οὐκ ἄρα τοῦτο πάντως εὐσεβέστερον, ὅτι
portraits not then this altogether more-pious since
καὶ Πνεύματος ἁγίου εἰσὶ πεπληρωμένα; Ὥσπερ γὰρ
also with-Spirit holy they-are filled just-as for
τότε αἵματι ἡγνίζετο ὁ λαός τε, καὶ ὁ ναὸς, καὶ σποδῷ
then with-blood was-purified the people both and the temple and with-ash
δαμάλεως, οὕτω καὶ νῦν Χριστοῦ αἵματι, μαρτυρήσαντος
of-heifer so also now of-Christ with-blood having-borne-witness
ἐπὶ Ποντίου Πιλάτου, καὶ ἑαυτὸν ἀπαρχὴν τῶν μαρτύρων
before Pontius Pilate and himself firstfruit of-the martyrs
δείξαντος, ἔτι δὲ καὶ τῷ τῶν ἁγίων αἵματι, ἐφ' ὧν
having-shown further and also by-the of-the saints blood on whom
ἡ Ἐκκλησία οἰκοδομεῖται. Καὶ τότε μὲν, μορφαῖς τε καὶ
the Church is-built and then indeed with-forms both and
ἐκτυπώμασιν ἀλόγων ἐμψύχους, καὶ λογικοὺς ναοὺς
impressions of-irrational(-beasts) living and rational temples
ἑαυτοὺς εἰς κατοικητήριον Θεοῦ κατεσκευακότων.
themselves into dwelling-place of-God having-prepared

III · THE KING WITH HIS ARMY

Christ is not to be painted stripped of his army, the saints. Having known God, Christians will not return to beggarly elements. The Church keeps unwritten traditions as well as written ones, as Basil says, and from them knows Golgotha and the tomb and prays toward the east. The quotations the iconoclasts bring condemn the pagans' idols, not Christian images; the treatise said to be Epiphanius' may be forged, and his own church is adorned with images. The prophets venerated angels, kings, and the footstool of God's feet.

Ἱστοροῦμεν οὖν Χριστὸν τὸν βασιλέα καὶ Κύριον, 21
we-depict then Christ the king and Lord
οὐ γυμνοῦντες αὐτὸν τοῦ στρατεύματος. Στρατὸς γὰρ
not stripping him of-the army army for
τοῦ Κυρίου οἱ ἅγιοι. Γυμνωσάτω ἑαυτὸν τοῦ οἰκείου
of-the Lord the saints let-him-strip himself of-the own
στρατεύματος ὁ ἐπίγειος βασιλεὺς, καὶ τότε τὸν ἑαυτοῦ
army the earthly king and then the his-own
βασιλέα καὶ Κύριον. Ἀποθέσθω τὴν ἁλουργίδα, καὶ
king and Lord let-him-put-off the purple and
τότε τῶν κατὰ τοῦ τυράννου ἀριστευσάντων, καὶ
then of-those against the tyrant having-excelled and
βασιλευσάντων τῶν παθῶν τὸ σέβας περιαιρείτω. Εἰ
having-reigned-over the passions the reverence let-him-take-away if
γὰρ κληρονόμοι Θεοῦ, καὶ συγκληρονόμοι Χριστοῦ, καὶ
for heirs of-God and fellow-heirs of-Christ and
τῆς θείας δόξης καὶ βασιλείας κοινωνοὶ ἔσονται, τῶν
of-the divine glory and kingdom sharers they-will-be of-the
παθημάτων Χριστοῦ κοινωνήσαντες· πῶς οὐχὶ καὶ τῆς ἐπὶ
sufferings of-Christ having-shared how not also of-the on
γῆς δόξης συμμέτοχοι χρηματίσουσιν οἱ φίλοι Χριστοῦ; «Οὐ
earth glory partakers shall-they-be-called the friends of-Christ not

λέγω ὑμᾶς δούλους, φησὶν ὁ Θεός· ὑμεῖς φίλοι μου ἐστέ.»
I-call you slaves says — God you friends my are
Τῆς οὖν δεδομένης αὐτοῖς παρὰ τῆς Ἐκκλησίας τιμῆς,
of-the then given to-them by the Church honor
ἀπαμφιοῦμεν αὐτούς; Ὦ θρασείας χειρός! ὦ τολμηρᾶς
shall-we-strip them O bold hand O daring
γνώμης, ἀντεριζούσης Θεῷ, καὶ τοῖς αὐτοῦ ἀντιπραττούσης
mind contending-against God and the his opposing
προστάγμασιν! Οὐ προσκυνεῖς εἰκόνι, μηδὲ τῷ Υἱῷ τοῦ
commands not you-venerate image nor the Son —
Θεοῦ προσκύνει, ὅς ἐστιν εἰκὼν τοῦ ἀοράτου Θεοῦ ζῶσα,
of-God venerate who is image of-the invisible God living
καὶ χαρακτὴρ ἀπαράλλακτος. Προσκυνῶ Χριστοῦ εἰκόνι,
and imprint unvarying I-venerate of-Christ image
ὡς σεσαρκωμένου Θεοῦ· τῆς Δεσποίνης τῶν ἁπάντων τῆς
as of-incarnate God of-the Lady of-the all the
Θεοτόκου, οἷα Μητρὸς τοῦ Υἱοῦ τοῦ Θεοῦ· τῶν ἁγίων, ὡς
God-bearer as Mother of-the Son — of-God of-the saints as
φίλων Θεοῦ, τῶν μέχρι αἵματος ἀντικαταστάντων πρὸς
of-friends of-God who to blood having-resisted against
τὴν ἁμαρτίαν, καὶ Χριστὸν μιμησαμένων τῇ ὑπὲρ αὐτοῦ
the sin and Christ having-imitated by-the for him
ἐκχύσει τοῦ αἵματος, τοῦ τὸ οἰκεῖον αἷμα ὑπὲρ αὐτῶν
shedding of-the blood of-the(-one) the own blood for them
προεκχέαντος· καὶ τῶν κατ᾽ ἴχνος αὐτοῦ πολιτευσαμένων,
having-first-shed and of-those in footsteps his having-lived
τούτων τὰς ἀριστείας καὶ τὰ πάθη ἀναγράπτους
their the exploits and the sufferings recorded
καθίστημι, ὡς δι᾽ αὐτῶν ἁγιαζόμενος, καὶ πρὸς ζῆλον
I-establish as through them being-sanctified and to zeal
μιμήσεως ἀλειφόμενος. Ἡ γὰρ τῆς εἰκόνος τιμὴ πρὸς τὸ
of-imitation being-anointed the for of-the image honor to the

πρωτότυπον διαβαίνει, φησὶν ὁ θεῖος Βασίλειος. Εἰ ναοὺς
prototype passes says the divine Basil if temples
ἐγείρεις ἁγίοις Θεοῦ, καὶ τὰ τούτων ἔγειρε τρόπαια. Οὐκ
you-raise to-saints of-God also the their raise trophies not
ἠγείρετο πάλαι ναὸς ἐπ' ἀνθρώπων ὀνόματι, οὐχ ἑορτάζετο
was-raised of-old temple in of-men name not was-celebrated
τῶν δικαίων ὁ θάνατος, ἀλλ' ἐπενθεῖτο. Ὁ ἁπτόμενος
of-the righteous the death but was-mourned the(-one) touching
νεκροῦ, ἀκάθαρτος ἐλογίζετο, καὶ Μωϋσέως αὐτοῦ. Νῦν δὲ
dead-body unclean was-reckoned even of-Moses himself now but
τῶν ἁγίων ἑορτάζεται τὰ μνημόσυνα. Ἐπενθήθη ὁ νεκρὸς
of-the saints are-celebrated the memorials was-mourned the dead-body
τοῦ Ἰακὼβ, ἀλλ' ὁ Στεφάνου πανηγυρίζεται θάνατος. Ἢ
— of-Jacob but the of-Stephen is-festively-kept death either
τοίνυν καὶ τὰς πανηγυρικὰς μνήμας τῶν ἁγίων ἄνελε,
therefore also the festal commemorations of-the saints abolish
παρὰ τὸν παλαιὸν νόμον ἀγομένας, ἢ καὶ τὰς εἰκόνας,
against the old law being-kept or also the images
παρὰ τὸν νόμον, ὡς φὴς, οὔσας, συγχώρησον. Ἀλλ'
against the law as you-say being allow but
ἀμήχανον μὴ ἑορτάζειν τὰ τῶν ἁγίων μνημόσυνα. Ὁ γὰρ
impossible not to-celebrate the of-the saints memorials the for
τῶν ἁγίων ἀποστόλων καὶ θεοφόρων Πατέρων χορὸς,
of-the holy apostles and God-bearing Fathers choir
ταῦτα προστάττει γίνεσθαι. Ἀφ' οὗ γὰρ ὁ Θεὸς Λόγος
these-things commands to-be-done from when for — God Word
σὰρξ ἐγένετο, ὁμοιωθεὶς ἡμῖν κατὰ πάντα χωρὶς
flesh became having-been-made-like to-us in all-things without
ἁμαρτίας, καὶ ἀσυγχύτως ἐκράθη πρὸς τὸ ἡμέτερον, καὶ
sin and without-confusion was-mingled with the ours and
ἀμεταβλήτως τὴν σάρκα ἐθέωσε, διὰ τῆς ἐν ἀλλήλαις
unchangeably the flesh deified through the in one-another

τῆς αὐτοῦ θεότητος, καὶ τῆς αὐτοῦ σαρκὸς ἀσυγχύτου
of-the his godhead and of-the his flesh unconfused
περιχωρήσεως, ὄντως ἡγιάσμεθα. Καὶ ἀφ' οὗ ὁ Υἱὸς
interpenetration truly we-have-been-sanctified and from when the Son
τοῦ Θεοῦ, καὶ Θεὸς, ὁ ἀπαθὴς ὢν τῇ θεότητι,
— of-God and God the(-one) impassible being in-the godhead
τῷ προσλήμματι πέπονθε, καὶ τὸ ἡμέτερον ἀπέτισεν
in-the assumed(-nature) has-suffered and the our paid
ὄφλημα, λύτρον ἐκχέας ὑπὲρ ἡμῶν ἀξιόχρεών τε
debt ransom having-poured-out for us worthy both
καὶ ἀξιάγαστον· δυσωπητικὸν γὰρ Πατρὶ, καὶ αἰδέσιμον
and admirable persuasive for to-Father and reverend
αἷμα Υἱοῦ· ὄντως ἠλευθερώμεθα· καὶ ἀφ' οὗ κατελθὼν
blood of-Son truly we-have-been-freed and from when having-gone-down
εἰς ᾅδην, ταῖς ἀπ' αἰῶνος πεπεδημέναις ψυχαῖς, ὡς
into Hades to-the from age fettered souls as
αἰχμαλώτοις ἐκήρυξεν ἄφεσιν, ὡς τυφλοῖς ἀνάβλεψιν,
to-captives he-proclaimed release as to-blind recovery-of-sight
καὶ δήσας τὸν ἰσχυρὸν, τῷ ὑπερέχοντι τῆς δυνάμεως
and having-bound the strong(-one) by-the excess of-the power
ἀνέστη, τὸ ἐξ ἡμῶν αὐτῷ προσληφθὲν ἀφθαρτίσας
he-rose the from us by-him assumed having-made-incorruptible
σαρκίον, ὄντως ἠφθαρτίσμεθα. Ἀφ' οὗ τε δι'
flesh truly we-have-been-made-incorruptible from when and through
ὕδατος καὶ πνεύματος γεγεννήμεθα, ὄντως υἱοθετήμεθα,
water and spirit we-have-been-born truly we-have-been-adopted
καὶ κληρονόμοι Θεοῦ γεγενήμεθα. Ἐντεῦθεν τοὺς πιστοὺς,
and heirs of-God we-have-become hence the faithful
ἁγίους ὁ Παῦλος καλεῖ. Ἐντεῦθεν τὸν τῶν ἁγίων οὐ
saints — Paul calls hence the of-the saints not
πενθοῦμεν, ἀλλ' ἑορτάζομεν θάνατον. Ἐντεῦθεν οὐχ ὑπὸ
we-mourn but we-celebrate death hence not under

νόμον, ἀλλ᾽ ὑπὸ χάριν ἐσμὲν, δικαιωθέντες διὰ τῆς
law but under grace we-are having-been-justified through the
πίστεως, καὶ Θεὸν μόνον εἰδότες τὸν ἀληθινόν· δικαίῳ δὲ
faith and God alone knowing the true for-righteous and
νόμος οὐ κεῖται. Οὐχ ὑπὸ τὰ στοιχεῖα τοῦ νόμου ἐσμὲν,
law not is-laid-down not under the elements of-the law we-are
δεδουλωμένοι ὡς νήπιοι, ἀλλ᾽ εἰς ἄνδρα καταρτισθέντες
enslaved as infants but into man having-been-perfected
τέλειον, στερεὰν τροφὴν τρεφόμεθα, οὐ τὴν πρὸς
perfect solid food we-are-fed not the(-food) toward
εἰδωλολατρείαν. Καλὸς ὁ νόμος, ὡς λύχνος φαίνων ἐν
idolatry good the law as lamp shining in
αὐχμηρῷ τόπῳ, ἀλλ᾽ ἕως οὗ ἡ ἡμέρα διαυγάζῃ· ἤδη δὲ
squalid place but until — the day dawns already and
ἀνέτειλε φωσφόρος ἐν ταῖς καρδίαις ἡμῶν, καὶ ὕδωρ ζῶν
has-risen day-star in the hearts our and water living
τῆς θεογνωσίας, θαλάσσας ἐθνῶν ἐπεκάλυψε, καὶ πάντες
of-the knowledge-of-God seas of-nations has-covered and all
τὸν Κύριον ἔγνωμεν· «Παρῆλθε τὰ παλαιὰ, ἰδοὺ γέγονε
the Lord have-known have-passed-away the old-things behold have-become
τὰ πάντα καινά.» Φησὶ γοῦν ὁ θεῖος ἀπόστολος Παῦλος
the all-things new says at-any-rate the divine apostle Paul
πρὸς Πέτρον, τὴν κορυφαίαν ἀκρότητα τῶν ἀποστόλων·
to Peter the chief summit of-the apostles
«Εἰ σὺ Ἰουδαῖος ὢν, ἐθνικῶς ζῇς, καὶ οὐκ Ἰουδαϊκῶς,
if you Jew being as-a-gentile you-live and not as-a-Jew
πῶς τὰ ἔθνη ἀναγκάζεις Ἰουδαΐζειν;» Καὶ πρὸς Γαλάτας
how the gentiles do-you-compel to-judaize and to Galatians
γράφει· «Μαρτύρομαι παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, ὅτι
he-writes I-testify to-every man being-circumcised that
ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον πληρῶσαι.»
debtor he-is whole the law to-fulfill

22 Πάλαι μὲν οὖν μὴ εἰδότες Θεὸν, ἐδούλευον τοῖς μὴ φύσει
of-old indeed then not knowing God they-served to-the not by-nature
οὖσι θεοῖς· νῦν δὲ γνόντες Θεὸν, μᾶλλον δὲ γνωσθέντες
being gods now but having-known God rather but having-been-known
ὑπὸ Θεοῦ, πῶς ἐπιστρέψομεν πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ
by God how shall-we-turn again to the weak and
πτωχὰ στοιχεῖα; Εἶδον εἶδος Θεοῦ τὸ ἀνθρώπινον, καὶ
beggarly elements I-saw form of-God the human and
ἐσώθη μου ἡ ψυχή. Θεωρῶ εἰκόνα Θεοῦ, ὡς εἶδεν Ἰακὼβ,
was-saved my the soul I-behold image of-God as saw Jacob
εἰ καὶ ἄλλως, καὶ ἄλλως. Ἐκεῖνος μὲν γὰρ ἄϋλον,
if even otherwise and otherwise he indeed for immaterial(-image)
τὸ ἐσόμενον προμηνύουσαν, ἀΰλοις νοὸς ὀφθαλμοῖς,
the to-come foretelling with-immaterial of-mind eyes
ἐγὼ δὲ τοῦ σαρκὶ ὁραθέντος, μνήμης ἐμπύρευμα. Ἡ
I but of-the in-flesh having-been-seen of-memory kindling the
τῶν ἀποστόλων σκιὰ, τὰ σουδάριά τε καὶ σιμικίνθια,
of-the apostles shadow the handkerchiefs both and aprons
νόσους ἀπήλαυνε, δαίμονας ἐφυγάδευε· καὶ πῶς ἡ σκιὰ
diseases drove-away demons put-to-flight and how the shadow
καὶ εἰκὼν τῶν ἁγίων οὐ δοξασθήσεται; ἢ πάσης ὕλης
and image of-the saints not will-be-glorified either of-all matter
προσκύνησιν ἄνελε, ἢ μὴ καινοτόμει, μηδὲ μέταιρε ὅρια
veneration abolish or not innovate nor remove boundaries
αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου.
eternal which set the fathers your

23 Οὐ μόνον γράμμασι τὴν ἐκκλησιαστικὴν θεσμοθεσίαν
not only by-writings the ecclesiastical ordinance
παρέδωκαν, ἀλλὰ καὶ ἀγράφοις τισὶ παραδόσεσι. Φησὶ
they-handed-down but also unwritten certain traditions says
γοῦν ὁ θεῖος Βασίλειος ἐν εἰκοστῷ ἑβδόμῳ τῶν πρὸς
at-any-rate the divine Basil in twentieth seventh of-the to

Ἀμφιλόχιον περὶ τοῦ ἁγίου πνεύματος τριάκοντα κεφαλαίων,
Amphilochius about the holy spirit thirty chapters
ἐπὶ λέξεως οὕτως· «Τῶν ἐν τῇ Ἐκκλησίᾳ πεφυλαγμένων
to word thus of-the in the Church preserved
δογμάτων καὶ κηρυγμάτων, τὰ μὲν ἐκ τῆς ἐγγράφου
doctrines and proclamations the(-ones) indeed from the written
διδασκαλίας ἔχομεν· τὰ δὲ ἐκ τῆς τῶν ἀποστόλων
teaching we-have the(-ones) but from the of-the apostles
παραδόσεως διαδοθέντα ἡμῖν, ἐν μυστηρίῳ παραδεξάμεθα·
tradition handed-on to-us in mystery we-have-received
ἅπερ ἀμφότερα τὴν αὐτὴν ἰσχὺν ἔχει πρὸς τὴν
which-indeed both the same force have toward the
εὐσέβειαν. Καὶ τούτοις οὐδεὶς ἀντερεῖ, οὐκοῦν ὅστις γε
piety and to-these no-one will-object therefore whoever at-least
κἂν μικρὸν γοῦν θεσμῶν Ἐκκλησίας πεπείραται· εἰ γὰρ
even a-little at-any-rate of-ordinances of-Church has-experienced if for
ἐπιχειρήσαιμεν τὰ ἄγραφα τῶν ἐθῶν, ὡς μὴ μεγάλην ἔχοντα
we-should-attempt the unwritten of-the customs as not great having
τὴν δύναμιν παραιτεῖσθαι, λάθοιμεν ἂν εἰς αὐτὰ τὰ
the force to-reject we-would-escape-notice — into very the
καίρια ζημιοῦντες τὸ Εὐαγγέλιον.» Ταῦτα τοῦ μεγάλου
vital-parts damaging the Gospel these-things of-the great
Βασιλείου τὰ ῥήματα· πόθεν γὰρ ἴσμεν τὸν Κρανίου τόπον
Basil the words whence for do-we-know the of-Skull place
τὸν ἅγιον, τὸ μνῆμα τῆς ζωῆς; Οὐ παῖδες παρὰ πατρὸς
the holy the tomb of-the life not children from father
ἀγράφως παρειληφότες; Τὸ μὲν γὰρ ἐν τόπῳ κρανίου
without-writing having-received the indeed for in place of-skull
ἐσταυρῶσθαι τὸν Κύριον, γέγραπται, καὶ τετάφθαι ἐν
to-have-been-crucified the Lord has-been-written and to-have-been-buried in
μνημείῳ, ὃ ἐλατόμησεν Ἰωσὴφ ἐν τῇ πέτρᾳ· ὅτι δὲ ταῦτά
tomb which hewed Joseph in the rock that but these

ἐστι τὰ νῦν προσκυνούμενα, ἐξ ἀγράφου παραδόσεως
are the(-ones) now venerated from unwritten tradition
ἴσμεν, καὶ πλεῖστα τούτοις παρόμοια. Πόθεν τὸ τρὶς
we-know and very-many to-these similar whence the thrice
βαπτίζειν; Πόθεν τὸ κατ᾽ ἀνατολὰς εὔχεσθαι; Πόθεν ἡ
to-baptize whence the toward east to-pray whence the
τῶν μυστηρίων παράδοσις; Διὸ καὶ ὁ θεῖος Ἀπόστολος
of-the mysteries tradition wherefore also the divine Apostle
Παῦλος φησίν· «Ἄρα οὖν, ἀδελφοὶ, στήκετε καὶ κρατεῖτε
Paul says so then brothers stand-firm and hold-fast
τὰς παραδόσεις ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγου, εἴτε
the traditions which you-were-taught whether through word or
δι᾽ ἐπιστολῆς ἡμῶν.» Πολλῶν τοιγαροῦν καὶ τοσούτων
through letter our many accordingly and so-great
ἀγράφως τῇ ἐκκλησίᾳ παραδεδομένων, καὶ μέχρι τοῦ
without-writing to-the church having-been-handed-down and until the
νῦν πεφυλαγμένων, τί περὶ τὰς εἰκόνας σμικρολογεῖς;
now preserved why about the images do-you-quibble
24 Ἃς μέντοι χρήσεις παράγεις, οὐ τῶν παρ᾽ ἡμῖν
which however quotations you-adduce not of-the among us
εἰκόνων βδελύσσονται τὴν προσκύνησιν, ἀλλὰ τῶν ταύτας
images abhor the veneration but of-the these
θεοποιούντων Ἑλλήνων. Οὐ δεῖ τοίνυν διὰ τὴν
deifying pagans not one-must therefore because-of the
τῶν Ἑλλήνων ἄτοπον χρῆσιν, καὶ τὴν ἡμετέραν εὐσεβῶς
of-the pagans absurd use also the our piously
γινομένην, ἀναιρεῖν. Ἐφορκίζουσιν ἐπαοιδοί τε καὶ γόητες,
being-done to-abolish exorcise enchanters both and sorcerers
ἐφορκίζει καὶ τοὺς κατηχουμένους ἡ Ἐκκλησία· ἀλλ᾽ ἐκεῖνοι
exorcises also the catechumens the Church but they
μὲν ἐπικαλοῦνται δαίμονας, αὕτη δὲ, Θεὸν κατὰ δαιμόνων·
indeed invoke demons she but God against demons

δαίμοσι τὰς εἰκόνας ἀνατιθέασιν Ἕλληνες, καὶ θεοὺς
to-demons the images dedicate pagans and gods
ταύτας προσαγορεύουσιν, ἡμεῖς δὲ ἀληθεῖ Θεῷ σαρκωθέντι,
these call we but to-true God incarnate
καὶ Θεοῦ δούλοις καὶ φίλοις, δαιμόνων ἀπελαύνουσι στίφη.
and of-God to-servants and friends of-demons driving-away hosts
Εἰ δὲ φῂς, τὸν θεῖον καὶ θαυμαστὸν Ἐπιφάνιον, διαῤῥήδην
if and you-say the divine and wonderful Epiphanius expressly
ταύτας ἀπαγορεῦσαι, πρῶτον μὲν τυχὸν παρεγγεγραμμένος
these to-have-forbidden first indeed perhaps interpolated
καὶ ἐπίπλαστος ὁ λόγος, ἄλλου μὲν ὢν πόνος, ἑτέρου
and forged the treatise of-another indeed being labor of-another
δὲ τὴν ἐπωνυμίαν ἔχων, ὃ πολλοῖς εἴθισται δρᾷν.
but the name having which to-many is-customary to-do
Δεύτερον, ἴσμεν τὸν μακάριον Ἀθανάσιον, ἀπηγορευκότα
second we-know the blessed Athanasius having-forbidden
τὸ ἐν λάρναξι τιθέναι τὰ τῶν ἁγίων λείψανα, μᾶλλον δὲ
the in chests to-place the of-the saints relics rather but
προστάττοντα ὑπὸ γῆν ταῦτα καλύπτειν, τὸ ἄτοπον ἔθος
commanding under earth these to-cover the absurd custom
τῶν Αἰγυπτίων καταργῆσαι βουλόμενον, οἳ τοὺς ἑαυτῶν
of-the Egyptians to-abolish wishing who the their-own
νεκροὺς, οὐχ ὑπὸ γῆν ἔκρυπτον, ἀλλ᾽ ἐπὶ κλινῶν καὶ
dead not under earth hid but on beds and
σκιμποδίων ἐτίθουν· τάχα τοιοῦτό τι καὶ ὁ μέγας
pallets placed perhaps such something also the great
Ἐπιφάνιος ἐπιδιορθώσασθαι θέλων, τὸ μὴ χρῆναι ποιεῖν
Epiphanius to-correct wishing the not to-be-needful to-make
εἰκόνας ἐνομοθέτησεν, εἴ γε καὶ αὐτοῦ δῶμεν εἶναι τὸν
images legislated if indeed even his we-grant to-be the
λόγον. Ἐπεὶ, ὅτι γε ὁ τούτου σκοπὸς ταύτας οὐκ
treatise since that indeed the his aim these not

ἀπετίθετο, μάρτυς ἡ τοῦ αὐτοῦ θείου Ἐπιφανίου Ἐκκλησία,
put-away witness the of-the same divine Epiphanius Church
εἰκόσι μέχρις ἡμῶν περικεκοσμημένη. Τρίτον, οὐ τὸ
with-images until us adorned third not the
σπάνιον νόμος τῇ Ἐκκλησίᾳ, οὐδὲ μία χελιδὼν ἔαρ ποιεῖ,
rare law for-the Church nor one swallow spring makes
ὡς καὶ τῷ Θεολόγῳ Γρηγορίῳ καὶ τῇ ἀληθείᾳ δοκεῖ·
as also to-the Theologian Gregory and to-the truth it-seems
οὐδὲ λόγος εἷς, δυνατὸς ὅλης Ἐκκλησίας, τῆς ἀπὸ γῆς
nor treatise one able of-whole Church the from earth's
περάτων μέχρι τῶν αὐτῆς περάτων, ἀνατρέψαι παράδοσιν.
ends to the its ends to-overturn tradition

26 Δέχου τοίνυν τῶν Γραφικῶν καὶ πνευματικῶν χρήσεων
receive therefore of-the Scriptural and spiritual quotations
τὸν ἑσμὸν, ὅτι εἰ καὶ λέγει ἡ Γραφή· «Τὰ εἴδωλα τῶν
the swarm that if even says the Scripture the idols of-the
ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων·»
nations silver and gold works of-hands of-men
ἀλλ' οὖν οὐ τὸ μὴ προσκυνεῖν ἀψύχοις ἢ ἔργοις χειρῶν
but then not the — to-venerate lifeless(-things) or works of-hands
κωλύει, ἀλλὰ ταῖς δαιμόνων εἰκόσιν.
it-forbids but the of-demons images

27 Ὅτι μὲν οὖν ἀγγέλοις, καὶ ἀνθρώποις, καὶ βασιλεῦσι, καὶ
that indeed then angels and men and kings and
ἀσεβέσι, προσεκύνησαν οἱ προφῆται, καὶ ῥάβδῳ, εἴρηται·
impious venerated the prophets and staff has-been-said
λέγει δὲ καὶ Δαβίδ· «Καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν
says and also David and venerate the footstool of-the
ποδῶν αὐτοῦ.» Ἡσαΐας δὲ ἐκ προσώπου τοῦ Θεοῦ· «Ὁ
feet his Isaiah and from person — of-God the
οὐρανός μοι θρόνος, φησὶν, ἡ δὲ γῆ, ὑποπόδιον τῶν
heaven to-me throne he-says the and earth footstool of-the

ποδῶν μου.» Οὐρανὸς δὲ καὶ γῆ παντί που δῆλον ὅτι
feet my heaven and also earth to-everyone surely clear that
κτίσματα. Καὶ Μωϋσῆς δὲ, καὶ Ἀαρὼν σὺν παντὶ τῷ
creatures and Moses too also Aaron with all the
λαῷ χειροποιήτοις προσεκύνησαν. Φησὶ γοῦν Παῦλος
people handmade(-things) venerated says at-any-rate Paul
ὁ χρυσοῦς τέττιξ τῆς Ἐκκλησίας, ἐν τῇ πρὸς Ἑβραίους
the golden cicada of-the Church in the to Hebrews
Ἐπιστολῇ· «Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν
Epistle Christ but having-come high-priest of-the
μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελειοτέρας
coming good-things through the greater and more-perfect
σκηνῆς, οὐ χειροποιήτου, τουτέστιν, οὐ ταύτης τῆς κτίσεως.»
tent not handmade that-is not of-this the creation
Καὶ πάλιν· «Οὐ γὰρ εἰς χειροποίητα εἰσῆλθεν ἅγια ὁ
and again not for into handmade entered holy-places —
Χριστὸς, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ᾽ εἰς τὸν οὐρανόν.»
Christ copies of-the true but into the heaven
Ὥστε τὰ πρότερα ἅγια, ἥ τε σκηνὴ, καὶ πάντα τὰ ἐν
so-that the former holy-places the both tent and all the(-things) in
αὐτῇ χειροποίητα ἦν· καὶ ὅτι προσεκυνεῖτο, οὐδεὶς ἀντερεῖ.
it handmade were and that it-was-venerated no-one will-object

John gathers the Fathers' testimonies, adding his own scholia. Dionysius calls the sacred symbols images of ineffable sights and says our hierarchy is led up through perceptible symbols; John adds the story of Augarus's portrait of Christ. Basil says the honor of the image passes to its prototype, that the king's image is called the king without making two kings, and calls on painters to complete his praise of the martyr Barlaam. His homilies on Gordius and the forty martyrs set word and painting side by side, and Gregory of Nyssa likens man to a royal image.

Μαρτυρίαι παλαιῶν καὶ δοκίμων ἁγίων Πατέρων περὶ
testimonies of-ancient and approved holy Fathers on
εἰκόνων.
images

Τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου, ἐκ τῆς πρὸς Τίτον
of-the holy Dionysius the Areopagite from the to Titus
Ἐπιστολῆς.
Epistle

«Χρὴ τοιγαροῦν καὶ ἡμᾶς, ἀντὶ τῆς δημώδους περὶ
one-must accordingly also us instead-of the popular about
αὐτῶν ὑπολήψεως, εἴσω τῶν ἱερῶν συμβόλων ἱεροπρεπῶς
them supposition within the sacred symbols reverently
διαλαβεῖν, καὶ μηδὲ ἀτιμάζειν αὐτὰ τῶν θείων ὄντα
to-understand and not-even to-dishonor them of-the divine being
χαρακτήρων ἔκγονα καὶ ἀποτυπώματα, καὶ εἰκόνας
imprints offspring and impressions and images
ἐμφανεῖς τῶν ἀπορρήτων καὶ ὑπερφυῶν θεαμάτων.»
manifest of-the ineffable and supernatural sights

Σχόλιον. Ἴδε, ὡς ἔφη μὴ ἀτιμάζειν τὰς τῶν τιμίων
Scholion see how he-said not to-dishonor the of-the honored(-ones)
εἰκόνας.
images

Τοῦ αὐτοῦ, ἐκ τοῦ Περὶ θείων ὀνομάτων (κεφ. α΄).

of-the same from the On divine names chapter 1

«Ταύτῃ καὶ ἡμεῖς μεμυήμεθα· νῦν μὲν, ἀναλόγως ἡμῖν διὰ

thus also we have-been-initiated now indeed proportionately to-us through

τῶν ἱερῶν παραπετασμάτων, τῆς τῶν λογίων καὶ ἱεραρχικῶν

the sacred veils of-the of-the oracles and hierarchical

παραδόσεων φιλανθρωπίας, αἰσθητοῖς τὰ νοητὰ, καὶ

traditions love-for-men with-perceptible-things the intelligible-things and

τοῖς οὖσι τὰ ὑπερούσια καλυπτούσης, καὶ μορφὰς καὶ

with-the beings the supra-substantial-things veiling and forms and

τύπους τοῖς ἀμορφώτοις τε καὶ ἀτυπώτοις περιτιθείσης, καὶ

figures to-the formless both and unfigured putting-about and

τὴν ὑπερφυᾶ καὶ ἀσχημάτιστον ἁπλότητα τῇ ποικιλίᾳ τῶν

the supernatural and shapeless simplicity by-the variety of-the

μεριστῶν συμβόλων πληθυούσης τε, καὶ διαπλαττούσης.»

divided symbols multiplying both and fashioning

Σχόλιον. Εἰ φιλανθρωπίας ἐστὶ τὸ τοῖς ἀτυπώτοις,

Scholion if of-love-for-men is the to-the unfigured

καὶ ἀμορφώτοις, καὶ τοῖς ἁπλοῖς, καὶ ἀσχηματίστοις,

and formless and to-the simple and shapeless

μορφὰς καὶ τύπους περιτιθέναι, πρὸς τὴν ἡμετέραν

forms and figures to-put-about according-to the our

ἀναλογίαν, πῶς τὰ μορφαῖς καὶ σχήμασιν ὁραθέντα,

capacity how the(-things) in-forms and shapes seen

μὴ ἀναλόγως ἡμῖν εἰκονίσομεν, πρὸς μνήμην, καὶ τὴν

not proportionately to-us shall-we-image for memory and the

ἐκ τῆς μνήμης πρὸς ζῆλον κίνησιν;

from the memory toward zeal movement

Τοῦ αὐτοῦ, ἐκ τοῦ Περὶ ἐκκλησιαστικῆς ἱεραρχίας (κεφ. α΄).
of-the same from the On ecclesiastical hierarchy chapter 1
«Ἀλλ᾽ αἱ μὲν ὑπὲρ ἡμᾶς οὐσίαι καὶ τάξεις, ὧν ἤδη
but the indeed above us substances and orders of-which already
μνήμην ἱερὰν ἐποιησάμην, ἀσώματοί τέ εἰσι, καὶ νοητὴ,
mention sacred I-made bodiless both are and intelligible
καὶ ὑπερκόσμιός ἐστιν ἡ κατ᾽ αὐτὰς ἱεραρχία. Τὴν καθ᾽
and supramundane is the among them hierarchy the among
ἡμᾶς δὲ ὁρῶμεν, ἀναλόγως ἡμῖν αὐτοῖς, τῇ τῶν αἰσθητῶν
us but we-see proportionately to-us ourselves by-the of-the perceptible
συμβόλων ποικιλίᾳ πληθυνομένην, ὑφ᾽ ὧν ἱεραρχικῶς
symbols variety multiplied by which hierarchically
ἐπὶ τὴν ἑνοειδῆ θέωσιν ἐν συμμετρίᾳ τῇ καθ᾽ ἡμᾶς
to the uniform deification in proportion the according-to us
ἀναγόμεθα, Θεόν τε καὶ θείαν ἀρετὴν, αἱ μὲν ὡς
we-are-led-up God both and divine virtue the(-ones) indeed as
νόες νοοῦσι κατὰ τὸ αὐτοῖς θεμιτὸν, ἡμεῖς δὲ αἰσθηταῖς
minds understand according-to the to-them lawful we but by-perceptible
εἰκόσιν ἐπὶ τὰς θείας, ὡς δυνατὸν, ἀναγόμεθα θεωρίας.»
images to the divine as possible we-are-led-up contemplations
Σχόλιον. Εἰ τοίνυν ἀναλόγως ἡμῖν αὐτοῖς αἰσθηταῖς
Scholion if therefore proportionately to-us ourselves by-perceptible
εἰκόσιν ἐπὶ τὴν θείαν καὶ ἄϋλον ἀναγόμεθα θεωρίαν,
images to the divine and immaterial we-are-led-up contemplation
καὶ φιλανθρώπως ἡ θεία πρόνοια τοῖς ἀσχηματίστοις
and lovingly the divine providence to-the shapeless
καὶ ἀτυπώτοις τύπους καὶ σχήματα τῆς ἡμῶν ἕνεκεν
and unfigured figures and shapes of-the our for-the-sake
χειραγωγίας περιτίθησι, τί ἀπρεπὲς τὸν σχήματι καὶ
guidance puts-about what unfitting the(-one) in-shape and

μορφῇ ὑποκύψαντα φιλανθρώπως δι᾽ ἡμᾶς, εἰκονίζειν
form having-stooped lovingly for us to-image
ἀναλόγως ἡμῖν αὐτοῖς;
proportionately to-us ourselves
Λόγος ἄνωθεν εἰς ἡμᾶς παραδεδομένος κάτεισιν, Αὔγαρον,
account from-above to us handed-down comes-down Augarus
τὸν Ἐδέσσης ἄνακτά φημι, τῇ τοῦ Κυρίου πρὸς θεῖον
the of-Edessa king I-mean by-the of-the Lord toward divine
ἐκπυρσευθέντα ἔρωτα ἀκοῇ, ἀπεσταλκέναι πρέσβεις, τὴν
having-been-kindled love report to-have-sent envoys the
αὐτοῦ ἐπίσκεψιν ἐξαιτοῦντας. Εἰ δὲ ἀρνηθείη τοῦτο
his visit requesting if but he-should-refuse this
δράσειν, τὸ τούτου κελεύει ὁμοίωμα ζωγράφῳ ἐκμάξασθαι·
to-do the his he-orders likeness to-painter to-copy
ὃ γνόντα τὸν πάντα εἰδότα, καὶ πάντα δυνάμενον,
which having-learned the(-one) all-things knowing and all-things being-able
τὸ ῥάκος εἰληφέναι, καὶ τῷ προσώπῳ προσενεγκάμενον,
the cloth to-have-taken and to-the face having-applied
ἐν τούτῳ τὸν οἰκεῖον ἐναπομόρξασθαι χαρακτῆρα, ὃ
on it the own to-have-impressed imprint which
καὶ μέχρι τοῦ νῦν σώζεται.
also until the now is-preserved
Τοῦ Βασιλείου, ἐκ τοῦ εἰς τὸν μακάριον Βαρλαὰμ τὸν
— of-Basil from the on the blessed Barlaam the
μάρτυρα λόγου, οὗ ἡ ἀρχή· Πρότερον μὲν τῶν ἁγίων
martyr discourse of-which the beginning formerly indeed of-the saints
οἱ θάνατοι.
the deaths
«Ἀνάστητέ μοι νῦν, ὦ λαμπροὶ τῶν ἀθλητικῶν
arise for-me now O splendid of-the athletic
κατορθωμάτων ζωγράφοι, τὴν τοῦ στρατηγοῦ κολοβωθεῖσαν
achievements painters the of-the general curtailed

εἰκόνα ταῖς ὑμετέραις μεγαλύνατε τέχναις. Ἀμαυρότερον παρ'
image by-the your magnify arts more-dimly by
ἐμοῦ τὸν στεφανίτην γραφέντα, τοῖς τῆς ὑμετέρας σοφίας
me the crowned(-one) painted with-the of-the your skill
περιλάμψατε χρώμασιν. Ἀπέλθω τῇ τῶν ἀριστευμάτων
illumine colors let-me-go-away by-the of-the exploits
τοῦ μάρτυρος παρ' ὑμῶν νενικημένος γραφῇ· χαίρω τὴν
of-the martyr by you defeated painting I-rejoice the
τοιαύτην τῆς ὑμετέρας ἰσχύος σήμερον ἡττώμενος νίκην·
such of-the your strength today being-defeated victory
ἴδω τῆς χειρὸς πρὸς τὸ πῦρ ἀκριβέστερον παρ' ὑμῶν
let-me-see of-the hand against the fire more-exactly by you
γραφομένην τὴν πάλην· ἴδω φαιδρότερον ἐπὶ τῆς ὑμετέρας
painted the wrestling let-me-see more-brightly on the your
τὸν παλαιστὴν γεγραμμένον εἰκόνος. Κλαυσάτωσαν δαίμονες
the wrestler painted image let-weep demons
καὶ νῦν, ταῖς τοῦ μάρτυρος ἐν ὑμῖν ἀριστείαις πληττόμενοι·
also now by-the of-the martyr in you exploits being-struck
φλεγομένη πάλιν αὐτοῖς ἡ χεὶρ καὶ νικῶσα δεικνύσθω.
burning again to-them the hand and conquering let-be-shown
Ἐγγραφέσθω τῷ πίνακι καὶ τῶν παλαισμάτων ἀγωνοθέτης
let-be-painted-on the panel also of-the wrestlings games-master
Χριστὸς, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Christ to-whom the glory into the ages of-the ages amen
Τοῦ αὐτοῦ, ἐκ τῶν πρὸς Ἀμφιλόχιον τριάκοντα κεφαλαίων,
of-the same from the to Amphilochius thirty chapters
περὶ τοῦ ἁγίου Πνεύματος, ἀπὸ κεφαλαίου ιη΄.
on the holy Spirit from chapter 18
«Ὅτι βασιλεὺς λέγεται καὶ ἡ τοῦ βασιλέως εἰκὼν, καὶ οὐ
that king is-called also the of-the king image and not
δύο βασιλεῖς. Οὔτε γὰρ τὸ κράτος σχίζεται, οὔτε ἡ δόξα
two kings neither for the power is-split nor the glory

διαμερίζεται. Ὡς γὰρ ἡ κρατοῦσα ἡμῶν ἀρχὴ καὶ ἐξουσία
is-divided as for the ruling us principle and authority
μία, οὕτω καὶ ἡ παρ᾽ ἡμῶν δοξολογία, μία καὶ οὐ πολλαὶ,
one so also the from us doxology one and not many
διότι ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει. Ὃ
because the of-the image honor to the prototype passes what
οὖν ἐστιν ἐνταῦθα μιμητικῶς ἡ εἰκὼν, τοῦτο ἐκεῖ φυσικῶς
then is here imitatively the image this there naturally
ὁ Υἱός· καὶ ὥσπερ ἐπὶ τῶν τεχνητῶν, κατὰ τὴν
the Son and just-as in the artificial(-things) according-to the
μορφὴν ἡ ὁμοίωσις, οὕτω καὶ ἐπὶ τῆς θείας καὶ ἀσυνθέτου
form the likeness so also in the divine and uncompounded
φύσεως, ἐν τῇ κοινωνίᾳ θεότητός ἐστιν ἡ ἕνωσις.»
nature in the communion of-godhead is the union
Σχόλιον. Εἰ ἡ εἰκὼν τοῦ βασιλέως ἐστὶ βασιλεὺς, καὶ ἡ
Scholion if the image of-the king is king also the
εἰκὼν τοῦ Χριστοῦ, Χριστὸς, καὶ ἡ εἰκὼν τοῦ ἁγίου ἅγιος.
image — of-Christ Christ and the image of-the saint saint
Καὶ οὔτε τὸ κράτος σχίζεται, οὔτε ἡ δόξα διαμερίζεται,
and neither the power is-split nor the glory is-divided
ἀλλ᾽ ἡ δόξα τῆς εἰκόνος, τοῦ εἰκονιζομένου γίνεται.
but the glory of-the image of-the imaged(-one) becomes
Δεδοίκασι τοὺς ἁγίους οἱ δαίμονες, καὶ τὴν σκιὰν αὐτῶν
fear the saints the demons and the shadow their
δραπετεύουσι, σκιὰ δὲ καὶ ἡ εἰκὼν, καὶ ταύτην ποιῶ,
flee shadow and also the image and it I-make
ὡς δαιμόνων ἐλάτειραν. Εἰ δὲ χρῆναι λέγοις νοερῶς
as of-demons driver-away if but to-be-needful you-should-say intellectually
μόνον Θεῷ συνάπτεσθαι, ἄνελε πάντα τὰ σωματικὰ, τὰ
only to-God to-be-joined abolish all the bodily-things the
φῶτα, τὸ εὐῶδες θυμίαμα· αὐτὴν τὴν διὰ τῆς φωνῆς
lights the fragrant incense very the through the voice

προσευχήν· αὐτὰ τὰ ἐξ ὕλης τελούμενα θεῖα μυστήρια,
prayer very the from matter performed divine mysteries
τὸν ἄρτον, τὸν οἶνον, τὸ τῆς χρίσεως ἔλαιον, τοῦ σταυροῦ
the bread the wine the of-the anointing oil of-the cross
τὸ ἐκτύπωμα. Ταῦτα γὰρ πάντα ὕλη· ὁ σταυρὸς, ὁ
the figure these-things for all matter the cross the
τῆς σταυρώσεως σπόγγος, καὶ κάλαμος, καὶ ἡ τὴν
of-the crucifixion sponge and reed and the the
ζωηφόρον πλευρὰν νύξασα λόγχη. Ἤ τούτων ἁπάντων
life-bearing side having-pierced lance either of-these all
ἄνελε τὸ σέβας, ὅπερ ἀδύνατον, ἢ μὴ ἀπαναίνου
abolish the reverence which-indeed impossible or not reject
μηδὲ τὴν τῶν εἰκόνων τιμήν. Χάρις δίδοται θεία ταῖς
nor the of-the images honor grace is-given divine to-the
ὕλαις διὰ τῆς τῶν εἰκονιζομένων προσηγορίας. Ὥσπερ
materials through the of-the imaged(-ones) name just-as
λιτὸν ἡ κογχύλη καθ' ἑαυτὴν, καὶ ἡ μέταξα, καὶ τὸ
plain the purple-shell by itself and the silk and the
ἐξ ἀμφοῖν ἐξυφασμένον ἱμάτιον· ἂν δὲ βασιλεὺς τοῦτο
from both woven garment if but king this
περίθηται, ἐκ τῆς προσούσης τῷ ἠμφιεσμένῳ τιμῆς, τῷ
put-on from the belonging to-the wearer honor to-the
ἀμφιάσματι μεταδίδοται· οὕτως καὶ αἱ ὕλαι, αὐταὶ μὲν
garment is-imparted so also the materials themselves indeed
καθ' ἑαυτὰς ἀπροσκύνητοι, ἂν δὲ χάριτος εἴη πλήρης ὁ
by themselves not-to-be-venerated if but of-grace should-be full the
εἰκονιζόμενος, μέτοχοι χάριτος γίνονται κατ' ἀναλογίαν
imaged(-one) partakers of-grace become according-to proportion
τῆς πίστεως. Εἶδον οἱ ἀπόστολοι τὸν Κύριον σωματικοῖς
of-the faith saw the apostles the Lord with-bodily
ὀφθαλμοῖς, καὶ τοὺς ἀποστόλους ἕτεροι, καὶ τοὺς μάρτυρας
eyes and the apostles others and the martyrs

ἕτεροι. Ποθῶ κἀγὼ τούτους ὁρᾷν ψυχῇ τε καὶ σώματι,
others long I-too them to-see with-soul both and body
καὶ ἔχειν ἀλεξίκακον φάρμακον, ἐπεὶ διπλοῦς ἔκτισμαι·
and to-have evil-averting remedy since twofold I-have-been-created
καὶ ὁρῶν προσκυνῶ τὸ ὁρώμενον, οὐχ ὡς Θεὸν, ἀλλ' ὡς
and seeing I-venerate the seen not as God but as
τιμίων εἰκόνισμα τίμιον. Σὺ μὲν, ὡς τυχὸν, ὑψηλός
of-honored(-ones) portrait honored you indeed as perhaps lofty
τε, καὶ ἄϋλος, καὶ ὑπὲρ τὸ σῶμα γενόμενος, καὶ οἷον
both and immaterial and above the body having-become and as-it-were
ἄσαρκος, καταπτύεις πᾶν τὸ ὁρώμενον· ἀλλ' ἐγὼ, ἐπεὶ
fleshless spit-upon all the seen but I since
ἄνθρωπός εἰμι, καὶ σῶμα περίκειμαι, ποθῶ καὶ σωματικῶς
man I-am and body I-wear I-long also bodily
ὁμιλεῖν, καὶ ὁρᾷν τὰ ἅγια· συγκατάβηθι τῷ ταπεινῷ
to-commune and to-see the holy-things condescend to-the lowly
μου φρονήματι ὁ ὑψηλὸς, ἵνα σου τηρήσῃς τὸ ὑψηλόν.
my mind the(-one) lofty that your you-may-keep the loftiness
Ἀποδέχεται Κύριος τὸν πρὸς αὐτόν μου πόθον, καὶ τοὺς
accepts Lord the toward him my longing and the
οἰκείους αὐτοῦ. Χαίρει γὰρ ὁ δεσπότης, ἐγκωμιαζομένου
household his rejoices for the master being-praised
δούλου εὐγνώμονος, ὁ μέγας ἔφη Βασίλειος ἐγκωμιάζων
slave grateful the great said Basil praising
τοὺς τεσσαράκοντα μάρτυρας. Ἄθρει δὲ οἷα καὶ
the forty martyrs observe and what-things also
Γόρδιον τὸν ἀοίδιμον γεραίρων φησίν.
Gordius the renowned honoring he-says

Τοῦ ἁγίου Βασιλείου, ἐκ τοῦ εἰς Γόρδιον τὸν μάρτυρα
of-the holy Basil from the on Gordius the martyr
λόγου.
discourse

«Εὐφραίνονται λαοὶ εὐφροσύνην πνευματικὴν ἐπὶ μόνῃ
rejoice peoples joy spiritual at only
τῇ ὑπομνήσει τῶν τοῖς δικαίοις κατωρθωμένων, εἰς
the remembrance of-the(-things) by-the righteous achieved into
ζῆλον καὶ μίμησιν τῶν ἀγαθῶν, ἀφ' ὧν ἀκούουσιν,
zeal and imitation of-the good-things from which they-hear
ἐναγόμενοι. Ἡ γὰρ τῶν εὐπολιτεύτων ἀνδρῶν ἱστορία,
being-led-on the for of-the well-living men history
οἷόν τι φῶς τοῖς σωζομένοις πρὸς τὴν τοῦ βίου ὁδὸν
as-it-were some light for-the being-saved for the of-the life road
ἐμποιεῖ.» Καὶ πάλιν· «Ὅστε ὅταν διηγώμεθα τοὺς βίους
produces and again so-that when we-relate the lives
τῶν διαπρεψάντων ἐν εὐσεβείᾳ, δοξάζομεν πρῶτον
of-the(-ones) having-excelled in piety we-glorify first
τὸν Δεσπότην διὰ τῶν δούλων· ἐγκωμιάζομεν δὲ τοὺς
the Master through the slaves we-praise and the
δικαίους διὰ τῆς μαρτυρίας ὧν ἴσμεν· εὐφραίνομεν
righteous through the testimony of-which we-know we-gladden
δὲ τοὺς λαοὺς, διὰ τῆς ἀκοῆς τῶν καλῶν.»
and the peoples through the hearing of-the good-things

Σχόλιον. Ὅρα, ὡς Θεοῦ μὲν δόξαν, τῶν δὲ ἁγίων ἐγκώμιον,
Scholion see how of-God indeed glory of-the and saints praise
τῶν δὲ λαῶν εὐφροσύνην καὶ σωτηρίαν, ἡ μνήμη τῶν ἁγίων
of-the and peoples joy and salvation the memory of-the saints
συνίστησι. Τί οὖν ταύτην ἀφαιρεῖς; Ὅτι δὲ διὰ λόγου καὶ
establishes why then it do-you-take-away that and through word and
εἰκόνων ἡ μνήμη γίνεται, φησὶν ὁ αὐτὸς θεῖος Βασίλειος.
images the memory comes-about says the same divine Basil

Τοῦ αὐτοῦ ἁγίου, εἰς τὸν Γόρδιον τὸν μάρτυρα.

of-the same saint on — Gordius the martyr

«Ὥσπερ γὰρ τῷ πυρὶ αὐτομάτως ἕπεται τὸ φωτίζειν, καὶ

just-as for to-the fire of-itself follows the to-give-light and

τῷ μύρῳ τὸ εὐωδεῖν, οὕτω καὶ ταῖς ἀγαθαῖς πράξεσιν,

the perfume the to-be-fragrant so also the good deeds

ἀναγκαίως ἀκολουθεῖ τὸ ὠφέλιμον. Καίτοι οὐδὲ τοῦτο

necessarily follows the profit and-yet not-even this

μικρὸν, ἀκριβῶς τυχεῖν τῆς ἀληθείας τῶν τότε. Ἀμυδρὰ

small exactly to-attain the truth of-the(-events) then dim

γάρ τις μνήμη εἰς ἡμᾶς διεδόθη, τὰς ἐπὶ τῶν ἀγώνων

for a-certain memory to us was-transmitted the in the contests

ἀνδραγαθίας τοῦ ἀνδρὸς διασώζουσα, καί πως δοκεῖ τὰ

brave-deeds of-the man preserving and somehow seem the

καθ' ἡμᾶς τοῖς τῶν ζωγράφων προσεοικέναι. Καὶ

according-to us to-the(-works) of-the painters to-resemble and

γὰρ ἐκεῖνοι, ἐπειδὰν ἐξ εἰκόνων μεταγράφωσι τὰς εἰκόνας,

for they whenever from images they-copy the images

πλεῖστον, ὡς εἰκὸς, τῶν ἀρχετύπων ἀπολιμπάνονται. Καὶ

very-far as likely from-the archetypes fall-short and

ἡμᾶς αὐτῆς τῆς θέας τῶν πραγμάτων ἀπολειφθέντας,

us very from-the sight of-the events having-fallen-short

κίνδυνος οὐ μικρὸς τὴν ἀλήθειαν ἐλαττῶσαι.»

danger not small the truth to-diminish

Ἐπὶ τέλει τοῦ αὐτοῦ λόγου.

at end of-the same discourse

«Ὡς γὰρ τὸν ἥλιον ἀεὶ ὁρῶντες, ἀεὶ θαυμάζομεν, οὕτω

as for the sun always seeing always we-marvel so

καὶ τοῦ ἀνδρὸς ἐκείνου ἀεὶ νεαρὰν τὴν μνήμην ἔχομεν.»

also of-the man that always fresh the memory we-have

Σχόλιον. Δῆλον, ὡς ἀεὶ καθορῶντες, διά τε λόγου καὶ
Scholion clear that always beholding through both word and
εἰκονισμάτων.
portraits
Καὶ ἐν τῷ λόγῳ δὲ τῷ εἰς τοὺς ὑπερτίμους τεσσαράκοντα
and in the discourse also the on the most-honored forty
μάρτυρας, ταῦτά φησιν.
martyrs these-things he-says
«Μαρτύρων δὲ μνήμης, τίς ἂν γένοιτο κόρος τῷ
of-martyrs and of-memory what — could-be surfeit to-the
φιλομάρτυρι; Διότι ἡ πρὸς τοὺς ἀγαθοὺς τῶν ὁμοδούλων
martyr-lover because the toward the good of-the fellow-slaves
τιμὴ, ἀπόδειξιν ἔχει τῆς πρὸς τὸν κοινὸν Δεσπότην
honor proof has of-the toward the common Master
εὐνοίας.» Καὶ πάλιν· «Μακάρισον γνησίως τὸν
goodwill and again bless sincerely the(-one)
μαρτυρήσαντα, ἵνα γένῃ μάρτυς τῇ προαιρέσει, καὶ
having-borne-witness that you-may-become martyr by-the choice and
ἐκβῇς χωρὶς διωγμοῦ, χωρὶς πυρὸς, χωρὶς μαστίγων,
you-may-depart without persecution without fire without scourges
τῶν αὐτῶν ἐκείνοις ἐπαίνων ἠξιωμένος.»
of-the same as-them praises deemed-worthy
Σχόλιον. Πῶς οὖν μὲ ἀπείργεις τῆς τῶν ἁγίων τιμῆς,
Scholion how then me do-you-bar from-the of-the saints honor
καὶ φθονεῖς μοι τῆς σωτηρίας; Ὅτι δὲ συνεζευγμένην
and grudge me the salvation that and joined
οἶδε τῷ λόγῳ τὴν διὰ τῶν χρωμάτων μορφὴν, ἄκουε
he-knows to-the word the through the colors form hear
αὐτοῦ μετ᾽ ὀλίγα φάσκοντος.
him after a-little saying

Βασιλείου.

of-Basil

«Δεῦρο δὴ οὖν, εἰς μέσον αὐτοὺς ἀγαγόντες διὰ τῆς
come indeed then into midst them having-brought through the
ὑπομνήσεως, κοινὴν τὴν ἀπ᾽ αὐτῶν ὠφέλειαν τοῖς παροῦσι
remembrance common the from them benefit for-the present
καταστησώμεθα, προδείξαντες πᾶσιν, ὥσπερ ἐν γραφῇ,
let-us-make having-displayed to-all as in painting
τὰς τῶν ἀνδρῶν ἀριστείας.»
the of-the men exploits
Σχόλιον. Ὁρᾷς, ὡς ἓν εἰκόνος καὶ λόγου τὸ ἔργον; «Ὡς
Scholion you-see how one of-image and word the work as
ἐν γραφῇ γὰρ, φησὶ, προδείξωμεν τῷ λόγῳ.» Πάλιν
in painting for he-says let-us-display by-the word again
ἐχόμενα τοῦ λόγου· «Ἐπεὶ καὶ πολέμων ἀνδραγαθήματα,
next of-the discourse since also of-wars brave-deeds
καὶ λογογράφοι πολλάκις, καὶ ζωγράφοι διασημαίνουσιν,
both prose-writers often and painters signalize
οἱ μὲν τῷ λόγῳ κοσμοῦντες, οἱ δὲ τοῖς πίναξιν
the(-ones) indeed by-the word adorning the(-others) but on-the panels
ἐγχαράσσοντες, καὶ πολλοὺς ἐπήγειραν εἰς ἀνδρείαν ἑκάτεροι.
engraving and many roused to courage each
Ἃ γὰρ ὁ λόγος τῆς ἱστορίας διὰ τῆς ἀκοῆς παρίστησι,
what for the word of-the history through the hearing presents
ταῦτα γραφικὴ σιωπῶσα διὰ μιμήσεως δείκνυσι.»
these-things painting being-silent through imitation shows
Σχόλιον. Τί τούτων τηλαυγέστερον πρὸς ἀπόδειξιν, ὅτι
Scholion what than-these clearer for proof that
βίβλοι τοῖς ἀγραμμάτοις αἱ εἰκόνες, καὶ τῆς τῶν ἁγίων
books for-the unlettered the images and of-the of-the saints
τιμῆς ἀσίγητοι κήρυκες, ἐν ἀήχῳ φωνῇ τοὺς ὁρῶντας
honor unsilent heralds in soundless voice those seeing

διδάσκουσαι, καὶ τὴν ὅρασιν ἁγιάζουσαι; Οὐκ εὐπορῶ
teaching and the sight sanctifying not I-am-rich-in
βίβλων, οὐ σχολὴν ἄγω πρὸς ἀνάγνωσιν, εἴσειμι εἰς
books not leisure I-have for reading I-go-in into
τὸ κοινὸν τῶν ψυχῶν ἰατρεῖον, τὴν Ἐκκλησίαν, ὥσπερ
the common of-the souls clinic the Church as-if
ἀκάνθαις τοῖς λογισμοῖς συμπνιγόμενος· ἕλκει με πρὸς θέαν
by-thorns by-the thoughts being-choked draws me toward sight
τῆς γραφῆς τὸ ἄνθος, καὶ ὡς λειμὼν τέρπει τὴν ὅρασιν,
of-the painting the bloom and as meadow delights the sight
καὶ λεληθότως ἐναφίησι τῇ ψυχῇ δόξαν Θεοῦ. Τεθέαμαι τὴν
and unnoticed instills in-the soul glory of-God I-have-beheld the
καρτερίαν τοῦ μάρτυρος, τῶν στεφάνων τὴν ἀνταπόδοσιν,
endurance of-the martyr of-the crowns the reward
καὶ ὡς πυρὶ πρὸς ζῆλον ἐξάπτομαι τῇ προθυμίᾳ, καὶ
and as by-fire to zeal I-am-kindled in-the eagerness and
πίπτων προσκυνῶ τῷ Θεῷ διὰ τοῦ μάρτυρος, καὶ
falling I-venerate — God through the martyr and
λαμβάνω τὴν σωτηρίαν. Οὐκ ἀκήκοας τοῦ αὐτοῦ θεοφόρου
I-receive the salvation not have-you-heard the same God-bearing
Πατρὸς, λέγοντος ἐν τῷ εἰς τὴν ἀρχὴν τῶν Ψαλμῶν λόγῳ,
Father saying in the on the beginning of-the Psalms discourse
ὅτι «Γινώσκων τὸ Πνεῦμα τὸ ἅγιον, ὅτι δυσάγωγον πρὸς
that knowing the Spirit the holy that hard-to-lead toward
ἀρετὴν, καὶ ῥᾳθυμον τὸ γένος τῶν ἀνθρώπων, τὸ μέλος
virtue and sluggish the race of-the men the melody
ταῖς Ψαλμῳδίαις ἐγκατέμιξε;» τί φῄς; Οὐ γράψω
with-the psalmodies mingled what do-you-say not shall-I-paint
καὶ λόγῳ καὶ χρώμασι τὸ τῶν μαρτύρων μαρτύριον; καὶ
both in-word and in-colors the of-the martyrs witness and
ὀφθαλμοῖς περιπτύξομαι τὸ θαυμαστὸν καὶ ἀγγέλοις καὶ
with-eyes shall-I-embrace the wonder both to-angels and

πάσῃ τῇ κτίσει, ὀδυνηρὸν δὲ τῷ διαβόλῳ καὶ φοβερὸν
all the creation painful but to-the devil and fearful
δαίμοσιν, ὡς αὐτὸς ὁ φωστὴρ τῆς Ἐκκλησίας ἔφησεν;
to-demons as himself the luminary of-the Church said
Οἷα δέ φησι πρὸς τῷ τέλει τοῦ λόγου, ἐγκωμιάζων
what-things and he-says at the end of-the discourse praising
τοὺς τεσσαράκοντα μάρτυρας; «Ὦ χορὸς ἅγιος! ὦ σύστημα
the forty martyrs O choir holy O company
ἱερόν! ὦ συνασπισμὸς ἀρραγής! ὦ κοινοὶ φύλακες τοῦ
sacred O shield-wall unbroken O common guardians of-the
γένους τῶν ἀνθρώπων, ἀγαθοὶ κοινωνοὶ φροντίδων, δεήσεων
race of-the men good sharers of-cares of-petitions
συνεργοί, πρεσβύται δυνατώτατοι, ἀστέρες τῆς οἰκουμένης,
helpers elders most-powerful stars of-the world
ἄνθη τῶν Ἐκκλησιῶν· ἐγὼ δέ φημι, νοητά τε καὶ αἰσθητά.
flowers of-the Churches I and say intelligible both and perceptible
Ὑμᾶς οὐχ ἡ γῆ κατέκρυψεν, ἀλλ᾽ οὐρανὸς ὑπεδέξατο·
you not the earth hid but heaven received
ἠνοίγησαν ὑμῖν παραδείσου πύλαι, ἄξιον θέαμα τῇ στρατιᾷ
were-opened for-you of-paradise gates worthy sight for-the army
τῶν ἀγγέλων, ἄξιον πατριάρχαις, προφήταις, δικαίοις.»
of-the angels worthy for-patriarchs prophets righteous
Σχόλιον. Πῶς οὐ μὴ ποθήσω ἰδεῖν, ὃ ἰδεῖν ποθοῦσιν
Scholion how not — shall-I-long to-see what to-see long
ἄγγελοι; Συνῳδὰ δὲ τούτοις καὶ ὁ τούτου ἀδελφὸς καὶ
angels in-accord and with-these also the his brother and
ὁμογνώμων Γρηγόριος, ὁ τῆς Νυσσαέων ἐπίσκοπός φησιν.
like-minded Gregory the of-the Nyssenes bishop says

Τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου Νύσσης, ἐκ τοῦ
of-the holy Gregory bishop of-Nyssa from the
ἀναπληρωματικοῦ, τουτέστι περὶ κατασκευῆς ἀνθρώπου
supplementary that-is about making of-man
(κεφ. δ΄.).
chapter 4
«Ὥσπερ κατὰ τὴν ἀνθρωπίνην συνήθειαν οἱ τὰς εἰκόνας
just-as according-to the human custom those the images
τῶν κρατούντων κατασκευάζοντες, τόν τε χαρακτῆρα τῆς
of-the rulers making the both imprint of-the
μορφῆς ἀναμάσσονται, καὶ τῇ περιβολῇ τῆς πορφυρίδος τὴν
form copy and by-the robe of-the purple the
βασιλικὴν ἀξίαν συμπαραγράφουσι, καὶ λέγεται κατὰ τὴν
royal dignity depict-alongside and is-called according-to the
συνήθειαν, καὶ εἰκὼν, καὶ βασιλεύς· οὕτω καὶ ἡ ἀνθρωπίνη
custom both image and king so also the human
φύσις, ἐπειδὴ πρὸς ἀρχὴν τῶν ἄλλων κατεσκευάζετο,
nature since for rule of-the others was-made
οἱόν τις ἔμψυχος εἰκὼν ἀνεστάθη, κοινωνοῦσα τῷ
as-it-were a-certain living image was-set-up sharing with-the
ἀρχετύπῳ, καὶ τῆς ἀξίας, καὶ τοῦ ὀνόματος.»
archetype both the dignity and the name
Τοῦ αὐτοῦ, ἐκ τοῦ πέμπτου κεφαλαίου τῆς αὐτῆς
of-the same from the fifth chapter of-the same
πραγματείας.
treatise
«Τὸ δὲ θεῖον κάλλος, οὐ σχήματί τινι, καὶ μορφῆς εὐμοιρίᾳ
the but divine beauty not by-shape some and of-form by-comeliness
διά τινος εὐχροίας ἐναγλαΐζεται, ἀλλ' ἐν ἀφράστῳ
through some good-color is-made-splendid but in ineffable
μακαριότητι κατ' ἀρετὴν θεωρεῖται. Ὥσπερ τοίνυν τὰς
blessedness according-to virtue is-contemplated just-as therefore the

ἀνθρωπίνας μορφὰς, διὰ χρωμάτων τινῶν ἐπὶ τοὺς πίνακας
human forms through colors certain onto the panels
οἱ γραφεῖς μεταφέρουσι, τὰς οἰκείας τε καὶ καταλλήλους
the painters transfer the proper both and suitable
βαφὰς ἐπαλείφοντες τῷ μιμήματι, ὡς ἂν δι' ἀκριβείας
tints applying to-the copy so-that — through exactness
τὸ ἀρχέτυπον κάλλος μετενεχθείη πρὸς τὸ ὁμοίωμα.»
the archetypal beauty might-be-transferred to the likeness
Σχόλιον. Ὅρα, ὡς τὸ μὲν θεῖον κάλλος, οὐ σχήματί τινι
Scholion see how the indeed divine beauty not by-shape some
διά τινος εὐχροίας ἐναγλαΐζεται, καὶ διὰ τοῦτο οὐκ
through some good-color is-made-splendid and because-of this not
εἰκονίζεται· ἡ δὲ ἀνθρωπίνη μορφὴ διὰ χρωμάτων ἐπὶ
is-imaged the but human form through colors onto
τοὺς πίνακας μεταφέρεται. Εἰ τοίνυν ὁ Υἱὸς τοῦ Θεοῦ
the panels is-transferred if therefore the Son — of-God
ἐν ἀνθρώπου μορφῇ γέγονε, μορφὴν δούλου λαβὼν,
in of-man form has-come-to-be form of-slave having-taken
καὶ ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι
and in likeness of-men having-become and in-shape
εὑρεθεὶς ὡς ἄνθρωπος, πῶς οὐκ εἰκονισθήσεται; καὶ
having-been-found as man how not will-he-be-imaged and
εἰ κατὰ συνήθειαν λέγεται, ἡ τοῦ βασιλέως εἰκὼν,
if according-to custom is-called the of-the king image
βασιλεὺς, καὶ ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον
king and the of-the image honor to the prototype
διαβαίνει, ὥς φησιν ὁ θεῖος Βασίλειος, πῶς ἡ εἰκὼν
passes as says the divine Basil how the image
οὐ τιμηθήσεται καὶ προσκυνηθήσεται; οὐχ ὡς Θεὸς, ἀλλ'
not will-be-honored and will-be-venerated not as God but
ὡς Θεοῦ σεσαρκωμένου εἰκών.
as of-God incarnate image

Gregory of Nyssa weeps before a painting of Abraham's sacrifice; Chrysostom calls the law a sketch, grace its colors. Leontius answers the Jews: the patriarchs bowed to men, and Jacob to Joseph's staff, without idolatry. Severian, Basil's life with Mercurius' image, Chrysostom's portrait of Paul, and Mary of Egypt follow. A recluse who broke his oath to a demon rather than stop venerating the Mother's image did right, and John warns against new teachings.

Τοῦ αὐτοῦ, ἀπὸ λόγου ῥηθέντος ἐν Κωνσταντινουπόλει.
of-the same from discourse spoken in Constantinople
περὶ θεότητος Υἱοῦ καὶ Πνεύματος, καὶ εἰς τὸν Ἀβραάμ.
on godhead of-Son and of-Spirit and on — Abraham
«Ἐντεῦθεν δεσμοῖς πρότερον διαλαμβάνει ὁ πατὴρ τὸν
thereupon with-bonds first binds the father the
παῖδα. Εἶδον πολλάκις ἐπὶ γραφῆς εἰκόνα τοῦ πάθους, καὶ
child I-saw often on painting image of-the suffering and
οὐκ ἀδακρυτὶ τὴν θέαν παρῆλθον, ἐναργῶς τῆς τέχνης ὑπ᾽
not without-tears the sight I-passed-by vividly the art under
ὄψιν ἀγούσης τὴν ἱστορίαν. Πρόκειται ὁ Ἰσαὰκ παρ᾽ αὐτῷ
eye bringing the story lies-before-us — Isaac beside very
τῷ θυσιαστηρίῳ, ὀκλάσας ἐπὶ τὸ γόνυ, καὶ περιηγμένας
the altar having-knelt on the knee and bent-around
ἔχων εἰς τοὐπίσω τὰς χεῖρας· ὁ δὲ ἐπιβεβηκὼς κατόπιν
having into the-behind the hands the(-one) and having-stepped behind
τὼ πόδε τῆς ἀγκύλης, καὶ τῇ ἀριστερᾷ χειρὶ τὴν
the two-feet of-the hollow and with-the left hand the
κόμην τοῦ παιδὸς πρὸς ἑαυτὸν ἀνακλάσας, ἐπικύπτει τῷ
hair of-the child toward himself having-bent-back stoops-over the
προσώπῳ, ἐλεεινῶς πρὸς αὐτὸν ἀναβλέποντι, καὶ τὴν δεξιὰν
face pitiably toward him looking-up and the right
καθωπλισμένος τῷ ξίφει, πρὸς τὴν σφαγὴν κατευθύνει.
armed with-the sword toward the slaughter directs

Καὶ ἅπτεται ἤδη τοῦ σώματος ἡ τοῦ ξίφους ἀκμὴ, καὶ
and touches already the body the of-the sword point and
τότε αὐτῷ γίνεται θεόθεν φωνὴ, τὸ ἔργον κωλύουσα.»
then to-him comes from-God voice the deed preventing
Τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, ἐκ τῆς ἑρμηνείας
of-the holy John the Chrysostom from the interpretation
τῆς πρὸς Ἑβραίους Ἐπιστολῆς.
of-the to Hebrews Epistle
«Καί πως εἰκὼν τοῦ δευτέρου τὸ πρῶτον, ὁ Μελχισεδὲκ
and somehow image of-the second the first — Melchizedek
τοῦ Χριστοῦ, ὥσπερ ἄν τις εἴποι σκιὰν τῆς γραφῆς
— of-Christ just-as — one might-say shadow of-the painting
τῆς ἐν σώμασι, τὸ πρὸ ταύτης σκίασμα τοῦ γραφέως.
of-the in bodies the before this shading of-the painter
Διὰ τοῦτο γὰρ ὁ νόμος καλεῖται σκιὰ, καὶ ἡ χάρις
καὶ πληροφορούμεθα, καὶ χαίρομεν, καὶ μακαριζόμεθα, καὶ
and are-fully-assured and rejoice and are-blessed and
σέβομεν, καὶ τιμῶμεν, καὶ προσκυνοῦμεν τὸν χαρακτῆρα
revere and honor and venerate the portrait
αὐτοῦ τὸν σωματικόν. Θεωροῦντες δὲ τὸν σωματικὸν
his the bodily beholding but the bodily
χαρακτῆρα αὐτοῦ, ἐννοοῦμεν ὡς δυνατὸν καὶ τὴν δόξαν
portrait his we-conceive as possible also the glory
τῆς θεότητος αὐτοῦ. Ἐπειδὴ γὰρ διπλοῖ ἐσμεν, ἐκ
of-the godhead his since for double we-are of
ψυχῆς καὶ σώματος κατεσκευασμένοι, καὶ οὐ γυμνὴ ἡμῶν
soul and body constituted and not naked our

ἐστιν ἡ ψυχὴ, ἀλλ᾽ ὡς ὑπὸ παραπετάσματι καλύπτεται,
is the soul but as under curtain is-covered
ἀδύνατον ἡμᾶς ἐκτὸς τῶν σωματικῶν ἐλθεῖν ἐπὶ τὰ
impossible us apart-from the bodily-things to-come to the
νοητά. Ὥσπερ οὖν διὰ λόγων αἰσθητῶν ἀκούομεν
intelligible-things just-as then through words perceptible we-hear
ὠσὶ σωματικοῖς, καὶ νοοῦμεν τὰ πνευματικὰ, οὕτω
with-ears bodily and understand the spiritual-things so
διὰ σωματικῆς θεωρίας ἐρχόμεθα ἐπὶ τὴν πνευματικὴν
through bodily contemplation we-come to the spiritual
θεωρίαν. Διὰ τοῦτο σῶμα καὶ ψυχὴν ἀνέλαβεν ὁ
contemplation because-of this body and soul took-up —
Χριστὸς, ἐπειδὴ σῶμα καὶ ψυχὴν ἔχει ὁ ἄνθρωπος· διὰ
Christ since body and soul has the man because-of
τοῦτο καὶ τὸ βάπτισμα διπλοῦν, ἐξ ὕδατος καὶ πνεύματος,
this also the baptism double of water and spirit
καὶ ἡ κοινωνία, καὶ ἡ προσευχὴ, καὶ ἡ ψαλμῳδία, πάντα
and the communion and the prayer and the psalmody all
διπλᾶ, σωματικὰ καὶ πνευματικὰ, καὶ φῶτα καὶ θυμιάματα.
double bodily and spiritual and lights and incenses
Ἀλλὰ πάντα ἐάσας, κατὰ μόνων τῶν εἰκόνων ὥρμησεν 13
but all-things having-left against only the images rushed
ὁ διάβολος· καὶ τοσοῦτος αὐτῷ φθόνος ἐστὶ κατὰ τῶν
the devil and so-great to-him envy is against the
εἰκόνων, ὡς καὶ ἐν τῷ Λειμωναρίῳ τοῦ ἁγίου Σωφρονίου
images that also in the Meadow of-the holy Sophronius
τοῦ πατριάρχου Ἱεροσολύμων, γεγράφθαι οὕτως· «Ἔλεγεν
the patriarch of-Jerusalem to-be-written thus used-to-say
ὁ ἀββᾶς Θεόδωρος ὁ Αἰλιώτης, ὅτι ἦν τις
the abba Theodore the Aeliote that there-was a-certain
ἔγκλειστος εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, ἀγωνιστής· πάντη
recluse on the mountain of-the Olives struggler in-every-way

δὲ αὐτῷ ἐπολέμει ὁ δαίμων τῆς πορνείας. Ἐν μιᾷ οὖν ὡς
but on-him made-war the demon of-the fornication on one-day then when
ἐπέκειτο αὐτῷ σφοδρῶς, ἤρξατο ὁ γέρων ἀποδύρεσθαι, καὶ
he-pressed-upon him violently began the old-man to-lament and
λέγειν τῷ δαίμονι· Ἕως πότε οὐκ ἐνδίδως μοι; Ἀπόστα
to-say to-the demon until when not do-you-give-way to-me depart
λοιπὸν ἀπ᾽ ἐμοῦ, συνεγήρασάς μοι. Φαίνεται αὐτῷ ὁ
henceforth from me you-have-grown-old-with me appears to-him the
δαίμων ὀφθαλμοφανῶς, λέγων· Ὄμοσόν μοι ὅτι οὐδενὶ
demon visibly saying swear to-me that to-no-one
λέγεις, ὃ μέλλω λέγειν σοι, καὶ οὐκέτι σοι πολεμῶ.
you-will-tell what I-am-about to-say to-you and no-longer you I-will-fight
Καὶ ὤμοσεν αὐτῷ ὁ γέρων, ὅτι Μὰ τὸν κατοικοῦντα
and swore to-him the old-man that by the(-one) dwelling
ἐν τοῖς ὑψίστοις, οὐκ εἴπω τινὶ ἅπερ εἴπῃς μοι. Τότε
in the highest not I-will-tell anyone what you-may-tell me then
λέγει αὐτῷ ὁ δαίμων· Μὴ προσκυνήσῃς ταύτῃ τῇ εἰκόνι,
says to-him the demon not venerate this the image
καὶ οὐκέτι σοι πολεμήσω. Εἶχε δὲ ἡ εἰκὼν ἐκτύπωμα, τὴν
and no-longer you I-will-fight had but the image imprint the
Δέσποιναν ἡμῶν ἁγίαν Μαρίαν τὴν Θεοτόκον, βαστάζουσαν
Lady our holy Mary the God-bearer carrying
τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Ἰδὲ τίνα μιμοῦνται
the Lord our Jesus Christ see whom imitate
οἱ προσκυνεῖσθαι τὰς εἰκόνας κωλύοντες, καὶ τίνος
those to-be-venerated the images preventing and whose
εἰσὶν ὄργανα· ὁ γὰρ δαίμων τῆς πορνείας ᾑρετίσατο
are instruments the for demon of-the fornication chose
μὴ προσκυνεῖσθαι τὴν εἰκόνα τῆς Δεσποίνης, ἤπερ εἰς
not to-be-venerated the image of-the Lady rather-than into

τὴν τῆς πορνείας ἀκαθαρσίαν ἐμπεσεῖν τὸν γέροντα, ὡς
the of-the fornication uncleanness to-fall the old-man as
μείζονα τῆς πορνείας ἁμαρτίαν ταύτην ἐπιστάμενος.»
greater than-the fornication sin this knowing
Ἀλλ' ἐπειδὴ περὶ εἰκόνος ὁ λόγος ἐστὶ καὶ προσκυνήσεως, 14
but since about image the discourse is and veneration
φέρε πλατύτερον περὶ τούτων τὸν λόγον διευκρινήσωμεν·
come more-broadly about these the discourse let-us-distinguish
καὶ εἴπωμεν πρῶτον, τί ἐστιν εἰκών· δεύτερον, τίνος
and let-us-say first what is image second for-what
χάριν γέγονεν εἰκών· τρίτον, πόσαι διαφοραὶ εἰκόνων·
sake has-come-about image third how-many differences of-images
τέταρτον, τί τὸ εἰκονιζόμενον, καὶ τί τὸ μὴ εἰκονιζόμενον·
fourth what the imaged and what the not imaged
πέμπτον, τίς πρῶτος ἐποίησεν εἰκόνας.
fifth who first made images
Εἶτα καὶ περὶ προσκυνήσεως· πρῶτον, τί ἐστι 15
then also about veneration first what is
προσκύνησις· δεύτερον, πόσοι τρόποι προσκυνήσεως·
veneration second how-many modes of-veneration
τρίτον, πόσα τὰ προσκυνούμενα εὑρίσκομεν ἐν τῇ
third how-many the venerated(-things) we-find in the
Γραφῇ· τέταρτον, ὅτι πᾶσα προσκύνησις διὰ τὸν φύσει
Scripture fourth that all veneration because-of the by-nature
προσκυνητὸν Θεόν ἐστι· πέμπτον, ὅτι ἡ τῆς εἰκόνος τιμὴ
venerable God is fifth that the of-the image honor
ἐπὶ τὸ πρωτότυπον διαβαίνει.
to the prototype passes

XII · WHAT AN IMAGE IS

An image is a likeness that shows its prototype while differing from it. It reveals what is hidden, for man's benefit. There are six kinds: the Son, the natural image of the Father; God's eternal counsels; man made after God's image; the figures by which Scripture shows the invisible; types that foreshadow what is to come; and memorials of what has happened, in writing and in painting. Bodies, angels, and souls may be pictured by shapes; the divine nature may not. God first begot his Son as his image and made man after it; patriarchs and prophets saw figures of the Son to come. So John images Christ and honors saints above angels.

16 Πρῶτον, τί ἐστι εἰκών.

first what is image

Εἰκὼν μὲν οὖν ἐστιν ὁμοίωμα, καὶ παράδειγμα, καὶ

image indeed then is likeness and pattern and

ἐκτύπωμά τινος, ἐν ἑαυτῷ δεικνύον τὸ εἰκονιζόμενον.

imprint of-something in itself showing the imaged(-thing)

Πάντως δὲ οὐ κατὰ πάντα ἔοικεν ἡ εἰκὼν τῷ πρωτοτύπῳ,

certainly but not in all-respects resembles the image the prototype

τουτέστι τῷ εἰκονιζομένῳ· ἄλλο γάρ ἐστιν ἡ εἰκὼν, καὶ ἄλλο

that-is the imaged(-thing) other for is the image and other

τὸ εἰκονιζόμενον, καὶ πάντως ὁρᾶται ἐν αὐτοῖς διαφορὰ,

the imaged(-thing) and certainly is-seen in them difference

ἐπεὶ οὐκ ἄλλο τοῦτο, καὶ ἄλλο ἐκεῖνο. Οἷόν τι λέγω·

since not other this and other that such-as something I-say

Ἡ εἰκὼν τοῦ ἀνθρώπου, εἰ καὶ τὸν χαρακτῆρα ἐκτυποῖ τοῦ

the image of-the man if even the character imprints of-the

σώματος, ἀλλὰ τὰς ψυχικὰς δυνάμεις οὐκ ἔχει· οὔτε γὰρ ζῇ,

body but the of-soul powers not has neither for it-lives

οὔτε λογίζεται, οὔτε φθέγγεται, οὔτε αἰσθάνεται, οὔτε μέλος

nor reasons nor speaks nor perceives nor limb

κινεῖ· καὶ ὁ υἱὸς, εἰκὼν φυσικὴ ὢν τοῦ πατρὸς, ἔχει τι
moves and the son image natural being of-the father has something
παρηλλαγμένον πρὸς αὐτόν. Υἱὸς γάρ ἐστι, καὶ οὐ πατήρ.
varied toward him son for he-is and not father
Δεύτερον, τίνος χάριν ἐστὶν ἡ εἰκών. 17
second for-what sake is the image
Πᾶσα εἰκὼν ἐκφαντορικὴ τοῦ κρυφίου ἐστὶ καὶ δεικτική.
every image revealing of-the hidden is and showing
Οἷόν τι λέγω· Ἐπειδὴ ὁ ἄνθρωπος, οὔτε τοῦ
such-as something I-say since the man neither of-the
ἀοράτου γυμνὴν ἔχει τὴν γνῶσιν, σώματι καλυπτομένης
invisible naked has the knowledge by-body being-covered
τῆς ψυχῆς, οὔτε τῶν μετ᾽ αὐτὸν ἐσομένων, οὔτε
the soul nor of-the(-things) after him going-to-be nor
τῶν τόπῳ διεστηκότων καὶ ἀπεχόντων, ὡς τόπῳ
of-the(-things) in-place separated and distant as in-place
καὶ χρόνῳ περιγραφόμενος, πρὸς ὁδηγίαν γνώσεως, καὶ
and in-time circumscribed for guidance of-knowledge and
φανέρωσιν, καὶ δημοσίευσιν τῶν κεκρυμμένων, ἐπενοήθη
manifestation and publication of-the hidden(-things) was-devised
ἡ εἰκών· πάντως δὲ πρὸς ὠφέλειαν καὶ εὐεργεσίαν καὶ
the image certainly but for benefit and good-deed and
σωτηρίαν, ὅπως στηλιτευομένων καὶ θριαμβευομένων τῶν
salvation so-that being-displayed and being-paraded the
πραγμάτων, διαγνῶμεν τὰ κεκρυμμένα, καὶ τὰ μὲν καλὰ
matters we-may-discern the hidden(-things) and the indeed good
ποθήσωμεν καὶ ζηλώσωμεν, τὰ δὲ ἐναντία, τουτέστι τὰ
we-may-long-for and emulate the but opposite that-is the
κακὰ, ἀποστραφῶμεν καὶ μισήσωμεν.
evil we-may-turn-from and hate
Τρίτον, πόσαι διαφοραὶ εἰκόνων. 18
third how-many differences of-images

Διαφοραὶ δὲ εἰκόνων εἰσί· πρώτη μὲν οὖν εἰκὼν ἐστιν
differences but of-images are first indeed then image is
ἡ φυσική. Ἐν ἑκάστῳ δὲ πράγματι δεῖ πρῶτον εἶναι τὸ
the natural in each but matter must first be the
κατὰ φύσιν, καὶ τότε τὸ κατὰ θέσιν καὶ μίμησιν· οἷον
by nature and then the by convention and imitation such-as
δεῖ πρῶτον εἶναι φύσει ἄνθρωπον, καὶ τότε θέσει
must first be by-nature man and then by-convention
κατὰ μίμησιν. Πρώτη οὖν φυσικὴ καὶ ἀπαράλλακτος εἰκὼν
by imitation first then natural and unvarying image
τοῦ ἀοράτου Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρὸς, ἐν ἑαυτῷ δεικνὺς
of-the invisible God the Son of-the Father in himself showing
τὸν Πατέρα. «Θεὸν μὲν γὰρ οὐδεὶς ἑώρακε πώποτε.» Καὶ
the Father God indeed for no-one has-seen ever and
πάλιν· «Οὐχ ὅτι τὸν Πατέρα τις ἑώρακεν.» Ὅτι δὲ εἰκών
again not that the Father anyone has-seen that but image
ἐστιν ὁ Υἱὸς τοῦ Πατρὸς, φησὶν ὁ Ἀπόστολος· «Ὅς
is the Son of-the Father says the Apostle who
ἐστιν εἰκὼν τοῦ ἀοράτου Θεοῦ.» Καὶ πρὸς Ἑβραίους· «Ὢν
is image of-the invisible God and to Hebrews who
ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως
being radiance of-the glory and imprint of-the hypostasis
αὐτοῦ.» Καὶ ὅτι ἐν ἑαυτῷ δεικνύει τὸν Πατέρα, ἐν
his and that in himself he-shows the Father in
τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ τοῦ Φιλίππου εἰπόντος,
the according-to John Gospel — Philip having-said
«Δεῖξον ἡμῖν τὸν Πατέρα, καὶ ἀρκεῖ ἡμῖν,» φησὶν ὁ
show us the Father and it-suffices us says the
Κύριος· «Τοσοῦτον χρόνον ἔχω μεθ' ὑμῶν, καὶ οὐκ
Lord so-long time I-have(-been) with you and not
ἔγνωκάς με, Φίλιππε; ὁ ἑωρακώς με, ἑώρακε τὸν
you-have-known me Philip the(-one) having-seen me has-seen the

Πατέρα.» Ἔστι μὲν ὁ Υἱὸς εἰκὼν τοῦ Πατρὸς φυσικὴ,
Father is indeed the Son image of-the Father natural
ἀπαράλλακτος, κατὰ πάντα ὁμοία τῷ Πατρὶ, πλὴν τῆς
unvarying in all-respects like to-the Father except the
ἀγεννησίας, καὶ τῆς πατρότητος. Ὁ μὲν γὰρ Πατὴρ,
unbegottenness and the fatherhood the indeed for Father
γεννήτωρ ἀγέννητος· ὁ δὲ Υἱὸς, γεννητὸς καὶ οὐ Πατήρ·
begetter unbegotten the but Son begotten and not Father
καὶ τὸ Πνεῦμα τὸ ἅγιον, εἰκὼν τοῦ Υἱοῦ· «Οὐδεὶς γὰρ
and the Spirit the holy image of-the Son no-one for
δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ.»
can say Lord Jesus if not in Spirit holy
Διὰ Πνεύματος οὖν ἁγίου γινώσκομεν τὸν Χριστὸν, Υἱὸν
through Spirit then holy we-know — Christ Son
τοῦ Θεοῦ καὶ Θεὸν, καὶ ἐν τῷ Υἱῷ καθορῶμεν τὸν Πατέρα·
— of-God and God and in the Son we-behold the Father
φύσει γὰρ νοούμενα, λόγος ἄγγελος· λόγου δὲ μηνυτικὸν, τὸ
by-nature for things-conceived word messenger of-word but indicative the
πνεῦμα. Ὁμοία δὲ καὶ ἀπαράλλακτός ἐστιν εἰκὼν τοῦ Υἱοῦ,
breath like and also unvarying is image of-the Son
τὸ Πνεῦμα τὸ ἅγιον, ἐν μόνῳ τῷ ἐκπορευτῷ τὸ διάφορον
the Spirit the holy in only the proceeding the difference
ἔχον. Ὁ μὲν γὰρ Υἱὸς, γεννητὸς, ἀλλ᾽ οὐκ ἐκπορευτός.
having the indeed for Son begotten but not proceeding
Καὶ ἑκάστου δὲ πατρὸς ὁ υἱὸς φυσική ἐστιν εἰκών· καὶ
and of-each too father the son natural is image and
οὗτος μὲν ὁ πρῶτος τρόπος τῆς εἰκόνος, ὁ φυσικός.
this indeed the first mode of-the image the natural
Δεύτερος τρόπος εἰκόνος, ἡ ἐν τῷ Θεῷ τῶν ὑπ᾽ αὐτοῦ 19
second mode of-image the in — God of-the(-things) by him
ἐσομένων ἔννοια, τουτέστιν ἡ προαιώνιος αὐτοῦ βούλησις,
going-to-be thought that-is the pre-eternal his will

ἡ ἀεὶ ὡσαύτως ἔχουσα· ἄτρεπτον γὰρ τὸ Θεῖον, καὶ ἡ
the always in-the-same-way being unchangeable for the Divine and the
βούλησις αὐτοῦ, ἄναρχος· ᾗ, καθὼς προαιωνίως ἐβουλήθη,
will his unoriginate in-which as pre-eternally he-willed
ἐν τῷ προορισθέντι ὑπ᾽ αὐτοῦ καιρῷ γίνεται τὰ
in the predetermined by him time come-about the(-things)
ὁρισθέντα· εἰκόνες γὰρ καὶ παραδείγματα τῶν ὑπ᾽ αὐτοῦ
determined images for and patterns of-the(-things) by him
ἐσομένων, ἡ περὶ ἑκάστου αὐτῶν ἔννοια, οἳ καὶ προορισμοὶ
going-to-be the about each of-them thought which also predeterminations
παρὰ τῷ ἁγίῳ Διονυσίῳ ὀνομάζονται. Ἐν γὰρ τῇ βουλῇ
by the holy Dionysius are-named in for the counsel
αὐτοῦ ἐχαρακτηρίζετο καὶ εἰκονίζετο πρὶν γενέσεως αὐτῶν,
his were-imprinted and were-imaged before coming-to-be their
τὰ ὑπ᾽ αὐτοῦ προωρισμένα, καὶ ἀπαραβάτως ἐσόμενα.
the(-things) by him predetermined and inviolably going-to-be
20 Τρίτος τρόπος εἰκόνος, ὁ κατὰ μίμησιν ὑπὸ Θεοῦ
third mode of-image the(-one) by imitation by God
γενόμενος, τουτέστιν ὁ ἄνθρωπος. Πῶς γὰρ ὁ κτιστὸς,
made that-is the man how for the created
τῆς αὐτῆς φύσεως ἔσται τῷ ἀκτίστῳ, ἀλλὰ κατὰ
of-the same nature will-be with-the uncreated but by
μίμησιν; Ὥσπερ γὰρ νοῦς ὁ Πατὴρ, καὶ Λόγος ὁ Υἱὸς,
imitation just-as for mind the Father and Word the Son
καὶ Πνεῦμα τὸ ἅγιον, εἷς Θεὸς, οὕτω καὶ νοῦς καὶ λόγος
and Spirit the holy one God so also mind and word
καὶ πνεῦμα, εἷς ἄνθρωπος. Καὶ κατὰ τὸ αὐτεξούσιον καὶ
and spirit one man and by the free-will and
ἀρχικόν· λέγει γὰρ ὁ Θεός· «Ποιήσωμεν ἄνθρωπον κατ᾽
ruling says for — God let-us-make man according-to
εἰκόνα ἡμετέραν, καὶ καθ᾽ ὁμοίωσιν.» Καὶ εὐθέως
image our and according-to likeness and immediately

ἐπήγαγε· «Καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ
he-added and let-them-rule the fish of-the sea and
τῶν πετεινῶν τοῦ οὐρανοῦ.» Καὶ πάλιν· «Καὶ ἄρχετε τῶν
the birds of-the heaven and again and rule the
ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ,
fish of-the sea and the birds of-the heaven
καὶ πάσης τῆς γῆς, καὶ κατακυριεύσατε αὐτῆς.»
and all the earth and subdue it
Τέταρτος τρόπος εἰκόνος τῆς γραφῆς, σχήματα καὶ μορφὰς 21
fourth mode of-image of-the scripture shapes and forms
καὶ τύπους ἀναπλαττούσης τῶν ἀοράτων καὶ ἀσωμάτων,
and figures fashioning of-the invisible and bodiless
σωματικῶς τυπουμένων, πρὸς ἀμυδρὰν κατανόησιν Θεοῦ
bodily being-figured toward dim understanding of-God
τε καὶ ἀγγέλων, διὰ τὸ μὴ δύνασθαι ἡμᾶς τὰ ἀσώματα
both and of-angels because-of the not to-be-able us the bodiless
ἄνευ σχημάτων ἀναλογούντων ἡμῖν θεωρεῖν, καθώς φησιν
without shapes proportionate to-us to-behold as says
ὁ πολὺς τὰ θεῖα Διονύσιος ὁ Ἀρεοπαγίτης. Ὅτι
the great in-the divine-things Dionysius the Areopagite that
μὲν γὰρ εἰκότως προβέβληνται τῶν ἀτυπώτων οἱ τύποι,
indeed for fittingly have-been-put-forward of-the unfigured the figures
καὶ τὰ σχήματα τῶν ἀσχηματίστων, οὐ μόνην αἰτίαν
and the shapes of-the shapeless not sole cause
φαίη τις εἶναι τὴν καθ' ἡμᾶς ἀναλογίαν, ἀδυνατοῦσαν
would-say one to-be the according-to us capacity being-unable
ἀμέσως ἐπὶ τὰς νοητὰς ἀνατείνεσθαι θεωρίας, καὶ
immediately to the intelligible to-reach-up contemplations and
δεομένην οἰκείων καὶ συμφυῶν ἀναγωγῶν. Εἰ τοίνυν
needing proper and connatural uplifts if therefore
τῆς ἡμῶν προνοῶν ἀναλογίας ὁ θεῖος λόγος, πάντοθεν
for-the our providing capacity the divine word from-every-side

τὸ ἀνατατικὸν ἡμῖν ποριζόμενος, καὶ τοῖς ἁπλοῖς καὶ
the uplifting for-us supplying also to-the simple and
ἀμορφώτοις τύπους τινὰς περιτίθησι, πῶς μὴ εἰκονίζει
formless figures some puts-about how not does-it-image
τὰ σχήμασι μεμορφωμένα κατὰ τὴν οἰκείαν φύσιν,
the(-things) in-shapes formed according-to the proper nature
καὶ ποθούμενα μὲν, διὰ δὲ τὸ μὴ παρεῖναι, ὁρᾶσθαι
and longed-for indeed because-of but the not to-be-present to-be-seen
μὴ δυνάμενα; Φησὶ γοῦν ὁ θεορρήμων Γρηγόριος, ὅτι
not being-able says at-any-rate the divinely-speaking Gregory that
πολλὰ κάμνων ὁ νοῦς ἐκβῆναι τὰ σωματικὰ, πάντη
much toiling the mind to-go-beyond the bodily-things wholly
ἀδυνατεῖ· «Ἀλλὰ καὶ τὰ ἀόρατα τοῦ Θεοῦ ἀπὸ κτίσεως
is-unable but also the invisible-things — of-God from creation
τοῦ κόσμου, τοῖς ποιήμασι νοούμενα καθορᾶται.»
of-the of-world by-the things-made being-understood are-clearly-seen
Ὁρῶμεν δὲ καὶ ἐν τοῖς κτίσμασιν εἰκόνας, μηνυούσας ἡμῖν
we-see and also in the creatures images indicating to-us
ἀμυδρῶς τὰς θείας ἐμφάσεις· ὡς ὅτε λέγομεν τὴν ἁγίαν
dimly the divine manifestations as when we-say the holy
Τριάδα τὴν ὑπεράρχιον, εἰκονίζεσθαι δι' ἡλίου καὶ φωτὸς
Trinity the above-all-principle to-be-imaged through sun and light
καὶ ἀκτῖνος· ἢ πηγῆς ἀναβλυζούσης, καὶ πηγαζομένου
and ray or spring gushing-forth and welling
νάματος, καὶ προχοῆς· ἢ νοῦ καὶ λόγου καὶ πνεύματος
stream and outflow or mind and word and spirit
τοῦ καθ' ἡμᾶς· ἢ ῥόδου φυτοῦ, καὶ ἄνθους, καὶ εὐωδίας.
the in us or rose plant and flower and fragrance
22 Πέμπτος τρόπος εἰκόνος λέγεται, ὁ προεικονίζων καὶ
fifth mode of-image is-called the(-one) prefiguring and
προδιαγράφων τὰ μέλλοντα, ὡς ἡ βάτος καὶ ὁ ἐπὶ πόκον
pre-sketching the things-to-come as the bush and the on fleece

ὑετὸς, τὴν Παρθένον καὶ Θεοτόκον, καὶ ἡ ῥάβδος, καὶ ἡ
rain the Virgin and God-bearer and the rod and the
στάμνος· καὶ ὡς ὁ ὄφις τοὺς τὸ δῆγμα διὰ σταυροῦ
jar and as the serpent the(-ones) the bite through cross
καταργήσαντας τοῦ ἀρχεκάκου ὄφεως· ἥ τε θάλασσα,
having-abolished of-the author-of-evil serpent the both sea
τὸ ὕδωρ, καὶ ἡ νεφέλη, τὸ τοῦ βαπτίσματος Πνεῦμα.
the water and the cloud the of-the baptism Spirit
Ἕκτος τρόπος εἰκόνος, ἡ πρὸς μνήμην τῶν 23
sixth mode of-image the(-one) toward memory of-the(-things)
γεγονότων, ἢ θαύματος, ἢ ἀρετῆς, πρὸς δόξαν καὶ τιμὴν
having-happened either of-wonder or of-virtue for glory and honor
καὶ στηλογραφίαν τῶν ἀριστευσάντων, καὶ ἐν ἀρετῇ
and inscribed-record of-the(-ones) having-excelled and in virtue
διαπρεψάντων, ἢ κακίας, πρὸς θρίαμβον καὶ αἰσχύνην τῶν
having-been-distinguished or of-vice for triumph and shame of-the
κακίστων ἀνδρῶν, πρὸς τὴν εἰς ὕστερον τῶν θεωμένων
worst men toward the into later of-the beholders
ὠφέλειαν· ὡς ἂν τὰ μὲν κακὰ φύγωμεν, τὰς δὲ ἀρετὰς
benefit so-that — the indeed evils we-may-flee the and virtues
ζηλώσωμεν. Διπλῆ δὲ αὕτη· διά τε λόγου ταῖς βίβλοις
we-may-emulate twofold and this through both word in-the books
ἐγγραφομένου· εἰκονίζει γὰρ τὸ γράμμα τὸν λόγον, ὡς
being-written-in images for the letter the word as
ὁ Θεὸς τὸν νόμον ταῖς πλαξὶν ἐνεκόλαψε, καὶ τοὺς τῶν
— God the law on-the tablets engraved and the of-the
θεοφιλῶν ἀνδρῶν βίους ἀναγράπτους γενέσθαι προσέταξε·
God-beloved men lives recorded to-be commanded
καὶ διὰ θεωρίας αἰσθητῆς, ὡς τὴν στάμνον, καὶ τὴν ῥάβδον
and through sight perceptible as the jar and the rod
ἐν τῇ κιβωτῷ τεθῆναι προσέταξεν, εἰς μνημόσυνον αἰώνιον·
in the ark to-be-placed he-commanded for memorial eternal

καὶ ὡς τὰ ὀνόματα τῶν φυλῶν ἐγκολαφθῆναι τοῖς λίθοις τῆς
and as the names of-the tribes to-be-engraved on-the stones of-the
ἐπωμίδος ἐκέλευσεν· οὐ μὴν ἀλλὰ καὶ τοὺς δώδεκα λίθους
ephod he-commanded not indeed but also the twelve stones
ἀρθῆναι ἐκ τοῦ Ἰορδάνου εἰς τύπον τῶν ἱερέων (βαβαὶ τοῦ
to-be-taken from the Jordan for type of-the priests oh of-the
μυστηρίου! ὡς μέγιστον τοῖς πιστοῖς ἐν ἀληθείᾳ!), τῶν
mystery how very-great for-the faithful in truth of-the(-ones)
αἰρόντων τὴν κιβωτὸν, καὶ τῆς τοῦ ὕδατος ἐκλείψεως. Οὕτω
carrying the ark and of-the of-the water failing thus
καὶ νῦν τὰς εἰκόνας τῶν γεγονότων ἐναρέτων ἀνδρῶν πρὸς
also now the images of-the having-lived virtuous men for
ζῆλον, καὶ μνήμην, καὶ ζῆλον ἡμῶν πόθῳ ἀναγράφομεν·
zeal and memory and zeal our with-longing we-paint
ἢ τοίνυν πᾶσαν εἰκόνα ἄνελε, καὶ ἀντινομοθέτει τῷ
either therefore every image abolish and legislate-against to-the(-one)
ταῦτα προστάξαντι γίνεσθαι, ἢ ἑκάστην δέχου, κατὰ
these-things having-ordered to-come-about or each receive according-to
τὸν ἑκάστῃ πρέποντα λόγον καὶ τρόπον.
the each befitting principle and manner

24 Τέταρτον, τὶ τὸ εἰκονιζόμενον, καὶ τὶ μὴ εἰκονιζόμενον,
fourth what the imaged and what not imaged(-thing)
καὶ πῶς ἕκαστον εἰκονίζεται.
and how each is-imaged

Τὰ μὲν σώματα, ὡς καὶ σχήματα, καὶ περιγραφὴν
the indeed bodies as both shapes and circumscription
σωματικὴν ἔχοντα, καὶ χρῶμα, εἰκότως εἰκονίζονται.
bodily having and color fittingly are-imaged
Ἄγγελος δὲ, καὶ ψυχὴ, καὶ δαίμων, εἰ καὶ μὴ σωματικῶς
angel but and soul and demon if even not bodily
καὶ παχέως, ἀλλὰ κατὰ τὴν ἑαυτῶν φύσιν, καὶ
and grossly but according-to the their-own nature also

σχηματίζονται, καὶ περιγράφονται. Νοητοὶ γὰρ ὄντες, ἐν
are-shaped and are-circumscribed intelligible for being in
νοητοῖς τόποις, νοητῶς παρεῖναι καὶ ἐνεργεῖν πιστεύονται.
intelligible places intelligibly to-be-present and to-act they-are-believed
Εἰκονίζονται μὲν οὖν σωματικῶς, ὡς εἰκόνισε Μωϋσῆς τὰ
are-imaged indeed then bodily as imaged Moses the
Χερουβὶμ, καὶ ὡς ἑωράθησαν τοῖς ἀξίοις, ἀλλ' ἀσώματον
Cherubim and as they-were-seen by-the worthy but bodiless
καὶ νοητὴν τινα θεωρίαν δηλούσης τῆς σωματικῆς
and intelligible some contemplation showing the bodily
εἰκόνος. Ἡ δὲ θεία φύσις, ἀπερίγραπτός ἐστι μόνη, καὶ
image the but divine nature uncircumscribable is alone and
παντελῶς ἀνείδεος, καὶ ἀσχημάτιστος, καὶ ἀκατάληπτος·
entirely formless and shapeless and incomprehensible
εἰ καὶ ἡ θεία Γραφὴ τύπους Θεῷ περιτίθησι, τῷ μὲν
if even the divine Scripture figures to-God puts-around to-the indeed
δοκεῖν, σωματικοὺς, ὥστε σχήματα ὁρᾶσθαι, καὶ αὐτοὺς δὲ
seeming bodily so-that shapes to-be-seen and themselves but
ἀσωμάτους. Οὐ γὰρ σωματικοῖς ὀφθαλμοῖς, ἀλλὰ νοεροῖς
bodiless not for with-bodily eyes but with-intellectual
ἑωρῶντο τοῖς προφήταις, καὶ οἷς ἀπεκαλύπτοντο· οὐ
were-seen by-the prophets and to-whom they-were-revealed not
γὰρ πᾶσιν ἑωρῶντο. Ἁπλῷ δὲ λόγῳ εἰπεῖν, δυνάμεθα
for to-all they-were-seen in-simple but word to-say we-can
ποιεῖν εἰκόνας πάντων τῶν σχημάτων, ὧν εἴδομεν· νοοῦμεν
make images of-all the shapes which we-saw we-conceive
δὲ ταῦτα, καθὼς ὡράθη· εἰ γὰρ καὶ ἀπὸ τῶν λόγων,
but these as they-were-seen if for even from the words
ἔσθ' ὅτε κατανοοῦμεν σχήματα, ἀλλ' ἐξ ὧν εἴδομεν, καὶ
there-is when we-perceive shapes but from what we-saw also
ἐπὶ τὴν τούτων ἐρχόμεθα κατανόησιν. Οὕτω καὶ ἐφ'
to the of-these we-come understanding so also in-the-case-of

ἑκάστης αἰσθήσεως, ἐξ ὧν ὠσφράνθημεν, ἢ ἐγευσάμεθα, ἢ
each sense from what we-smelled or tasted or
ἡψάμεθα, διὰ λόγων ἐπὶ τὴν τούτων ἐρχόμεθα κατανόησιν.
touched through words to the of-these we-come understanding
Οἴδαμεν οὖν, ὅτι οὔτε Θεοῦ, οὔτε ψυχῆς, οὔτε δαίμονος
we-know then that neither of-God nor of-soul nor of-demon
δυνατὸν θεαθῆναι φύσιν, ἀλλ' ἐν μετασχηματισμῷ τινι
possible to-be-beheld nature but in transformation some
θεωροῦνται ταῦτα, τῆς θείας προνοίας τύπους καὶ σχήματα
are-beheld these-things the divine providence figures and shapes
περιτιθείσης τοῖς ἀσωμάτοις καὶ ἀτυπώτοις, καὶ μὴ ἔχουσι
putting-around to-the bodiless and figureless and not having
σχηματισμὸν σωματικῶς, πρὸς τὸ χειραγωγηθῆναι ἡμᾶς,
shaping bodily for the to-be-led-by-hand us
καὶ πρὸς παχυμερῆ καὶ μερικὴν αὐτῶν γνῶσιν, ἵνα μὴ
and toward gross and partial their knowledge so-that not
ἐν παντελεῖ ἀγνοίᾳ ὦμεν Θεοῦ, καὶ τῶν ἀσωμάτων
in entire ignorance we-may-be of-God and of-the bodiless
κτισμάτων. Ὁ μὲν γὰρ Θεὸς φύσει καὶ παντελῶς
creatures — indeed for God by-nature and entirely
ἀσώματος· ἄγγελος δὲ, καὶ ψυχὴ, καὶ δαίμων, πρὸς μὲν
bodiless angel but and soul and demon toward indeed
Θεὸν συγκρινόμενοι, τὸν μόνον ἀσύγκριτον, σώματά εἰσι·
God compared the only incomparable bodies are
πρὸς δὲ τὰ ὑλικὰ σώματα, ἀσώματοι. Μὴ θέλων οὖν Θεὸς
toward but the material bodies bodiless not wishing then God
παντελῶς ἀγνοεῖν ἡμᾶς τὰ ἀσώματα, περιέθηκεν αὐτοῖς
entirely to-be-ignorant us the bodiless-things put-around them
τύπους, καὶ σχήματα, καὶ εἰκόνας κατὰ τὴν ἀναλογίαν
figures and shapes and images according-to the proportion
τῆς φύσεως ἡμῶν, σχήματα σωματικὰ ἐν ἀΰλῳ ὁράσει
of-the nature our shapes bodily in immaterial sight

νοὸς ὁρώμενα· καὶ ταῦτα σχηματίζομεν καὶ εἰκονίζομεν.
of-mind seen and these we-shape and we-image
Ἐπεὶ, πῶς ἐσχηματίσθη καὶ εἰκονίσθη τὰ Χερουβίμ; ἀλλὰ
since how were-shaped and imaged the Cherubim but
καὶ Θεοῦ σχήματα καὶ εἰκόνας ἡ Γραφὴ ἔχει.
also of-God shapes and images the Scripture has
Τίς πρῶτος ἐποίησεν εἰκόνα. 26
who first made image
Αὐτὸς ὁ Θεὸς πρῶτος ἐγέννησε τὸν μονογενῆ Υἱὸν καὶ
himself — God first begot the only-begotten Son and
Λόγον αὐτοῦ, εἰκόνα αὐτοῦ ζῶσαν, φυσικὴν, ἀπαράλλακτον
Word his image his living natural unvarying
χαρακτῆρα τῆς αὐτοῦ ἀϊδιότητος· ἐποίησέ τε τὸν ἄνθρωπον
imprint of-the his everlastingness made and the man
κατ' εἰκόνα αὐτοῦ καὶ καθ' ὁμοίωσιν. Καὶ Ἀδὰμ
according-to image his and according-to likeness and Adam
εἶδε Θεὸν, καὶ ἤκουσε τῆς φωνῆς τῶν ποδῶν αὐτοῦ
saw God and heard the voice of-the feet of-him
περιπατοῦντος τὸ δειλινὸν, καὶ ἐκρύβη ἐν τῷ παραδείσῳ·
walking the at-evening and hid in the paradise
καὶ Ἰακὼβ εἶδε, καὶ ἐπάλαισε μετὰ Θεοῦ. Δῆλον δὲ, ὅτι
and Jacob saw and wrestled with God clear but that
ὡς ἄνθρωπος ἐφάνη αὐτῷ ὁ Θεός· καὶ Μωῦσῆς, ὡς
as man appeared to-him — God and Moses as
ὀπίσθια ἀνθρώπου εἶδε· καὶ Ἡσαΐας ὡς ἄνθρωπον εἶδε
back-parts of-man saw and Isaiah as man saw
καθήμενον ἐπὶ θρόνου· καὶ Δανιὴλ ὁμοίωμα ἀνθρώπου
sitting on throne and Daniel likeness of-man
εἶδε, καὶ ὡς υἱὸν ἀνθρώπου ἐλθόντα ἐπὶ τὸν Παλαιὸν τῶν
saw and as son of-man having-come to the Ancient of-the
ἡμερῶν· καὶ οὐ φύσιν Θεοῦ εἶδέ τις, ἀλλὰ τὸν τύπον,
days and not nature of-God saw anyone but the type

καὶ τὴν εἰκόνα τοῦ μέλλοντος ἔσεσθαι. Ἔμελλε γὰρ ὁ
and the image of-the(-one) about to-be was-about for the
Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ ὁ ἀόρατος, ἄνθρωπος γίνεσθαι
Son and Word — of-God the invisible man to-become
ἐν ἀληθείᾳ, ἵνα ἑνωθῇ τῇ φύσει ἡμῶν, καὶ ὁραθῇ
in truth so-that he-might-be-united to-the nature our and be-seen
ἐπὶ γῆς· προσεκύνησαν οὖν πάντες οἱ ἰδόντες τὸν τύπον
on earth venerated then all those having-seen the type
καὶ τὴν εἰκόνα τοῦ μέλλοντος, καθὼς Παῦλός φησιν ὁ
and the image of-the(-one) to-come as Paul says the
ἀπόστολος ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ· «Κατὰ πίστιν
apostle in the to Hebrews epistle according-to faith
ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας,
died these all not having-received the good-tidings
ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι.» Ἐγὼ
but from-afar them having-seen and having-greeted I
οὖν οὐ μὴ ποιήσω εἰκόνα τοῦ δι' ἐμὲ ὀφθέντος
then not — shall-I-make image of-the(-one) for me seen
σαρκὸς φύσει; καὶ προσκυνήσω καὶ τιμήσω αὐτὸν, διὰ
of-flesh in-nature and venerate and honor him through
τῆς εἰς τὴν εἰκόνα αὐτοῦ τιμῆς καὶ προσκυνήσεως;
the toward the image his honor and veneration
Εἶδεν Ἀβραὰμ, οὐ φύσιν Θεοῦ· Θεὸν γὰρ οὐδεὶς ἑώρακε
saw Abraham not nature of-God God for no-one has-seen
πώποτε· ἀλλ' εἰκόνα Θεοῦ, καὶ πεσὼν προσεκύνησεν.
ever but image of-God and having-fallen venerated
Εἶδεν Ἰησοῦς ὁ Ναυῆ, οὐ φύσιν ἀγγέλου, ἀλλ' εἰκόνα·
saw Joshua the of-Nun not nature of-angel but image
φύσις γὰρ ἀγγέλου σωματικοῖς οὐχ ὁρᾶται ὀφθαλμοῖς· καὶ
nature for of-angel with-bodily not is-seen eyes and
πεσὼν προσεκύνησεν. Ὁμοίως καὶ Δανιήλ. Ἄγγελος δὲ,
having-fallen venerated likewise also Daniel angel but

οὐ Θεὸς, ἀλλὰ κτίσμα καὶ δοῦλος Θεοῦ, καὶ παραστάτης·
not God but creature and slave of-God and attendant
προσεκύνησε δὲ, οὐχ ὡς Θεῷ, ἀλλ᾽ ὡς Θεοῦ παραστάτῃ
he-venerated but not as God but as of-God attendant
καὶ λειτουργῷ. Κἀγὼ μὴ ποιήσω εἰκόνα τῶν φίλων τοῦ
and minister and-I not shall-I-make image of-the friends —
Χριστοῦ; καὶ μὴ προσκυνήσω, οὐχ ὡς θεοῖς, ἀλλ᾽ ὡς
of-Christ and not shall-I-venerate not as gods but as
εἰκόσι φίλων Θεοῦ; Οὔτε γὰρ Ἰησοῦς, οὔτε Δανιὴλ, ὡς
images of-friends of-God neither for Joshua nor Daniel as
θεοῖς προσεκύνησαν τοῖς ὀφθεῖσιν ἀγγέλοις· οὐδὲ ἐγὼ ὡς
gods venerated the seen angels nor I as
Θεῷ προσκυνῶ τῇ εἰκόνι, ἀλλὰ διὰ τῆς εἰκόνος καὶ τῶν
God venerate the image but through the image and of-the
ἁγίων, τῷ Θεῷ προσάγω τὴν προσκύνησιν καὶ τὴν τιμὴν,
saints — to-God I-bring the veneration and the honor
δι᾽ ὃν καὶ τοὺς αὐτοῦ φίλους σέβω, καὶ δι᾽ αἰδοῦς
because-of whom also the his friends I-revere and with reverence
ἄγω. Οὐχ ἡνώθη φύσει ἀγγέλων ὁ Θεὸς, ἡνώθη δὲ φύσει
hold not was-united to-nature of-angels — God was-united but to-nature
ἀνθρώπων. Οὐκ ἐγένετο ὁ Θεὸς ἄγγελος, ἐγένετο δὲ ὁ Θεὸς
of-men not became — God angel became but — God
φύσει καὶ ἀληθείᾳ ἄνθρωπος. «Οὐ γὰρ δήπου ἀγγέλων
by-nature and in-truth man not for surely of-angels
ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται.»
he-takes-hold but of-seed of-Abraham he-takes-hold
Οὐκ ἐγένετο φύσις ἀγγέλων. Υἱὸς Θεοῦ καθ᾽ ὑπόστασιν,
not became nature of-angels Son of-God according-to hypostasis
ἐγένετο δὲ φύσις ἀνθρώπου. Υἱὸς Θεοῦ καθ᾽ ὑπόστασιν.
became but nature of-man Son of-God according-to hypostasis
Οὐ μετέσχον ἄγγελοι, οὐδὲ ἐγένοντο θείας κοινωνοὶ φύσεως,
not partook angels nor became of-divine sharers nature

ἀλλ᾽ ἐνεργείας καὶ χάριτος, ἄνθρωποι δὲ μετέχουσι, καὶ
but of-energy and of-grace men but partake and
κοινωνοὶ θείας φύσεως γίνονται, ὅσοι μεταλαμβάνουσι
sharers of-divine nature become as-many-as partake-of
τὸ σῶμα τοῦ Χριστοῦ τὸ ἅγιον, καὶ πίνουσι τὸ αἷμα·
the body — of-Christ the holy and drink the blood
θεότητι γὰρ καθ᾽ ὑπόστασιν ἥνωται, καὶ δύο φύσεις
with-godhead for according-to hypostasis it-is-united and two natures
ἐν τῷ μεταλαμβανομένῳ ὑφ᾽ ἡμῶν σώματι τοῦ Χριστοῦ,
in the partaken by us body — of-Christ
ἡνωμέναι καθ᾽ ὑπόστασίν εἰσιν ἀδιασπάστως. Καὶ
united according-to hypostasis are inseparably and
τῶν δύο φύσεων μετέχωμεν, τοῦ σώματος σωματικῶς,
of-the two natures let-us-partake of-the body bodily
τῆς θεότητος πνευματικῶς· μᾶλλον δὲ ἀμφοῖν κατ᾽
of-the godhead spiritually rather but of-both according-to
ἄμφω· οὐ καθ᾽ ὑπόστασιν ταυτιζόμενοι· ὑφιστάμεθα γὰρ
both not according-to hypostasis being-identified we-subsist for
πρῶτον, καὶ τότε ἑνούμεθα· ἀλλὰ κατὰ συνανάκρασιν
first and then we-are-united but according-to commingling
τοῦ σώματος καὶ αἵματος. Καὶ πῶς οὐ μείζονες ἀγγέλων,
of-the body and blood and how not greater than-angels
οἱ φυλάττοντες διὰ τῆς τηρήσεως τῶν ἐντολῶν τὴν
those keeping through the observance of-the commandments the
εἰλικρινῆ ἕνωσιν; Ἡ μὲν φύσις ἡμῶν βραχύ τι παρ᾽
pure union the indeed nature our a-little somewhat than
ἀγγέλους ἠλαττωμένη διὰ τὸν θάνατον καὶ τὴν τοῦ
angels made-lower because-of the death and the of-the
σώματος παχύτητα, ἀλλ᾽ εὐδοκίᾳ καὶ συναφείᾳ Θεοῦ,
body thickness but by-good-pleasure and conjunction of-God
γέγονεν ἀγγέλων μείζων. Παρίστανται γὰρ αὐτῇ μετὰ
has-become than-angels greater stand-by for it with

φόβου καὶ τρόμου ἄγγελοι, καθημένῃ ἐπὶ θρόνου τῆς δόξης
fear and trembling angels sitting on throne of-the glory
ἐν Χριστῷ, καὶ παραστήσονται ἔντρομοι ἐν τῇ κρίσει· οὐ
in Christ and will-stand-by trembling in the judgment not
συγκαθήμενοι, οὐδὲ κοινωνοὶ τῆς θείας δόξης ὑπὸ Γραφῆς
sitting-with nor sharers of-the divine glory by Scripture
ἐῤῥήθησαν. «Εἰσὶ γὰρ πάντες λειτουργικὰ πνεύματα,
they-were-said are for all ministering spirits
εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας
for service being-sent because-of those about
κληρονομεῖν σωτηρίαν·» οὐδ' ὅτι συμβασιλεύσουσιν, οὐδ'
to-inherit salvation nor that they-will-reign-with nor
ὅτι συνδοξασθήσονται, οὐδ' ὅτι ἐπὶ τῆς τραπέζης τοῦ
that they-will-be-glorified-with nor that at the table of-the
Πατρὸς καθίσουσιν. Οἱ δὲ ἅγιοι, υἱοὶ Θεοῦ, υἱοὶ τῆς
Father they-will-sit the but saints sons of-God sons of-the
βασιλείας, καὶ κληρονόμοι Θεοῦ, καὶ συγκληρονόμοι
kingdom and heirs of-God and fellow-heirs
Χριστοῦ. Τιμῶ οὖν τοὺς ἁγίους, καὶ συνδοξάζω τοὺς
of-Christ I-honor then the saints and glorify-with the
δούλους, καὶ φίλους, καὶ συγκληρονόμους Χριστοῦ· τοὺς
slaves and friends and fellow-heirs of-Christ the
δούλους ἐκ φύσεως, καὶ φίλους ἐκ προαιρέσεως· καὶ υἱοὺς
slaves by nature and friends by choice and sons
καὶ κληρονόμους ἐκ θείας χάριτος, ὥς φησιν ὁ Κύριος
and heirs by divine grace as says the Lord
πρὸς τὸν Πατέρα.
to the Father
Εἰπόντες τοίνυν περὶ εἰκόνος, εἴπωμεν καὶ περὶ
having-spoken then about image let-us-speak also about
προσκυνήσεως, καὶ πρῶτον τί ἐστι προσκύνησις.
veneration and first what is veneration

XIII · WHAT VENERATION IS

Veneration is a sign of submission and honor. Worship belongs to God alone, by servitude, wonder, thanksgiving, need, and repentance. Creatures are venerated in seven modes: the saints, in whom God rests; the places and things through which he wrought salvation, Sinai, the manger, Golgotha, the tomb; things dedicated to him, Gospels and vessels; the images the prophets saw and the types; one another; rulers; and masters and benefactors. John urges the faithful to keep the tradition, and closes with a prayer before turning to the testimonies.

27 Περὶ προσκυνήσεως· τί ἐστι προσκύνησις;
about veneration what is veneration
Προσκύνησις τοίνυν ἐστὶ σημεῖον ὑποπτώσεως, τουτέστιν,
veneration then is sign of-falling-down that-is
ὑποβάσεως καὶ ταπεινώσεως· τρόποι δὲ προσκυνήσεως
of-submission and of-humbling modes but of-veneration
εἰσι πλεῖστοι.
are very-many

28 Πόσοι τρόποι προσκυνήσεως.
how-many modes of-veneration
Πρῶτος τρόπος προσκυνήσεως, ὁ κατὰ λατρείαν,
first mode of-veneration the(-one) according-to worship
ἣν προσάγομεν μόνῳ τῷ φύσει προσκυνητῷ Θεῷ· καὶ
which we-bring alone to-the by-nature venerable God and
οὗτος κατὰ διαφόρους τρόπους. Πρῶτον μὲν κατὰ
this according-to various modes first indeed according-to
τὸν τῆς δουλείας· προσκυνοῦσι γὰρ αὐτῷ πάντα τὰ
the(-mode) of-the servitude venerate for him all the
κτίσματα, ὡς δοῦλοι Δεσπότῃ· ὅτι «Τὰ σύμπαντα γὰρ,
creatures as slaves to-(the)-Master that the all-things for
φησὶ, δοῦλα σά·» καὶ οἱ μὲν ἑκουσίως, οἱ δὲ
he-says slaves yours and the(-ones) indeed willingly the(-ones) but

ἀκουσίως, οἱ μὲν γνώσει ἑκουσίως προσκυνοῦσιν,
unwillingly the(-ones) indeed with-knowledge willingly venerate
ὅσοι εὐσεβεῖς, οἱ δὲ ἐπιγινώσκοντες, καὶ μὴ θέλοντες,
as-many-as pious the(-ones) but recognizing and not wishing
ἀκουσίως προσκυνοῦσιν, ὡς οἱ δαίμονες· ἄλλοι μὴ εἰδότες
unwillingly venerate as the demons others not knowing
τὸν φύσει Θεὸν, προσκυνοῦσιν ἀκουσίως ὃν ἀγνοοῦσιν.
the by-nature God venerate unwillingly whom they-are-ignorant-of
Δεύτερος τρόπος, ὁ κατὰ θαῦμα καὶ πόθον, καθ' 29
second mode the(-one) according-to wonder and longing according-to
ὃν προσκυνοῦμεν τῷ Θεῷ διὰ τὴν φυσικὴν δόξαν
which we-venerate — God because-of the natural glory
αὐτοῦ· μόνος γάρ ἐστι δεδοξασμένος, οὐκ ἔκ τινος ἔχων
his alone for he-is glorified not from someone having
τὴν δόξαν, ἀλλ' αὐτὸς ὢν πάσης δόξης αἴτιος καὶ παντὸς
the glory but himself being of-all glory cause and of-every
ἀγαθοῦ φῶς ἀκατάληπτον, γλυκασμὸς ἀνείκαστος, κάλλος
good light incomprehensible sweetness incomparable beauty
ἀμήχανον, ἀγαθότητος ἄβυσσος, σοφία ἀνεξιχνίαστος,
inconceivable of-goodness abyss wisdom unsearchable
ἀπειροδύναμος δύναμις, μόνος ἄξιος δι' ἑαυτὸν θαυμάζεσθαι,
infinitely-powerful power alone worthy for himself to-be-marveled-at
προσκυνεῖσθαί τε καὶ δοξάζεσθαι, καὶ ποθεῖσθαι.
to-be-venerated both and to-be-glorified and to-be-longed-for
Τρίτος τρόπος, ὁ τῆς εὐχαριστίας, ὑπὲρ τῶν γεγονότων 30
third mode the(-one) of-the thanksgiving for the having-come-about
εἰς ἡμᾶς ἀγαθῶν. Πάντα γὰρ τὰ ὄντα χρεωστεῖ
to us good-things all for the(-things) being owe
εὐχαριστεῖν τῷ Θεῷ, καὶ προσφέρειν ἀένναον προσκύνησιν,
to-give-thanks — to-God and to-bring ever-flowing veneration
ὅτι τε ἐξ αὐτοῦ ἔχει τὸ εἶναι τὰ πάντα, καὶ ἐν αὐτῷ
because both from him has the to-be the all-things and in him

συνίσταται, καὶ πᾶσι μεταδίδωσιν ἀφθόνως τῶν ἑαυτοῦ
consist and to-all he-shares ungrudgingly of-the his-own
δωρεῶν, καὶ δίχα αἰτήσεως· καὶ θέλει πάντας σωθῆναι,
gifts and without asking and he-wills all to-be-saved
καὶ μετέχειν τῆς ἑαυτοῦ ἀγαθότητος· καὶ μακροθυμεῖ ἐφ᾽
and to-partake of-the his-own goodness and is-long-suffering toward
ἡμῖν ἁμαρτάνουσι· καὶ ἀνατέλλει τὸν ἥλιον ἐπὶ δικαίους,
us sinning and makes-rise the sun on just
καὶ βρέχει ἐπὶ πονηροὺς καὶ ἀγαθούς· καὶ ὅτι ὁ Υἱὸς τοῦ
and rains on wicked and good and that the Son —
Θεοῦ δι᾽ ἡμᾶς καθ᾽ ἡμᾶς γέγονε, καὶ θείας κοινωνοὺς
of-God because-of us like us has-become and of-divine sharers
φύσεως ἐποίησεν ἡμᾶς, ὅτι «Ὅμοιοι αὐτῷ ἐσόμεθα,» ὥς
nature made us that like to-him we-shall-be as
φησιν Ἰωάννης ὁ Θεολόγος ἐν τῇ καθολικῇ Ἐπιστολῇ.
says John the Theologian in the catholic Epistle

31 Τέταρτος τρόπος, ὁ κατ᾽ ἔνδειαν καὶ ἐλπίδα τῶν
fourth mode the(-one) according-to need and hope of-the
εὐεργεσιῶν· καθ᾽ ἃς ἐπιγινώσκοντες, ὡς οὐ δυνάμεθα
benefits according-to which recognizing that not we-can
ἐκτὸς αὐτοῦ ποιεῖν οὐδὲν, ἢ ἔχειν ἀγαθὸν, προσκυνοῦμεν,
apart-from him do nothing or have good we-venerate
αἰτοῦντες παρ᾽ αὐτοῦ ἕκαστος, οὗ αἰσθάνεται ἐνδεὼς ἔχειν,
asking from him each of-what he-perceives in-want to-be
καὶ ὃ ποθεῖ, ῥυσθῆναί τε κακῶν, καὶ τυχεῖν ἀγαθῶν.
and what he-longs-for to-be-delivered both from-evils and to-obtain good-things

32 Πέμπτος τρόπος, ὁ τῆς μετανοίας καὶ τῆς
fifth mode the(-one) of-the repentance and of-the
ἐξομολογήσεως· ἁμαρτάνοντες γὰρ προσκυνοῦμεν καὶ
confession sinning for we-venerate and
προσπίπτομεν τῷ Θεῷ, δεόμενοι συγχωρηθῆναι τὰ
fall-before — God begging to-be-forgiven the

πταίσματα, ὡς δοῦλοι εὐγνώμονες. Καὶ οὗτος ὁ τρόπος
stumbles as slaves grateful and this the mode
τρισσός ἐστιν. Ἢ γὰρ κατὰ ἀγάπην λυπεῖταί τις, ἢ
threefold is either for according-to love grieves one or
ὡς μὴ ἀποτύχῃ τῶν τοῦ Θεοῦ εὐεργεσιῶν, ἢ δεδιὼς τὰς
so-that not he-may-fail-of the — of-God benefits or fearing the
κολάσεις. Καὶ ἔστιν ὁ μὲν πρῶτος, ἐξ εὐγνωμοσύνης
punishments and is the indeed first from gratitude
καὶ πόθου αὐτοῦ Θεοῦ, καὶ υἱϊκῆς διαθέσεως· ὁ δεύτερος,
and longing himself for-God and filial disposition the second
μισθωτικῆς· ὁ δὲ τρίτος, δουλικῆς.
of-hireling the but third of-slave

Πόσα τὰ προσκυνούμενα εὑρίσκομεν ἐν τῇ Γραφῇ, 33
how-many the venerated(-things) we-find in the Scripture
καὶ κατὰ πόσους τρόπους προσάγομεν προσκύνησιν
and according-to how-many modes we-bring veneration
κτίσμασι.
to-creatures

Πρῶτον μὲν, ἐφ' οἷς ἀναπέπαυται ὁ Θεὸς, ὁ μόνος
first indeed in whom has-rested — God the(-one) alone
ἅγιος, καὶ ἐν ἁγίοις ἀναπαυόμενος, ὡς τῇ ἁγίᾳ Θεοτόκῳ,
holy and in holy(-ones) resting as in-the holy God-bearer
καὶ πᾶσι τοῖς ἁγίοις. Οὗτοι δέ εἰσιν οἱ κατὰ τὸ
and all the saints these but are those according-to the
δυνατὸν ὁμοιωθέντες Θεῷ, ἔκ τε τῆς ἑαυτῶν προαιρέσεως,
possible made-like to-God from both the their-own choice
καὶ τῆς Θεοῦ ἐνοικήσεως καὶ συνεργίας· οἵτινες καὶ θεοὶ
and the of-God indwelling and co-working who also gods
λέγονται ἀληθῶς, οὐ φύσει, ἀλλὰ θέσει· ὡς πῦρ λέγεται
are-called truly not by-nature but by-adoption as fire is-called
ὁ πεπυρακτωμένος σίδηρος, οὐ φύσει, ἀλλὰ θέσει, καὶ
the red-hot iron not by-nature but by-adoption and

μεθέξει πυρός. Φησὶ γὰρ, «Ἅγιοι ἔσεσθε, ὅτι ἐγὼ
by-participation of-fire says for holy you-shall-be for I
ἅγιός εἰμι.» Τοῦτο πρῶτον, ἡ προαίρεσις· εἶτα, παντὶ
holy am this first the choice then to-everyone
τῷ προαιρουμένῳ τὸ ἀγαθὸν, ὁ Θεὸς συνεργεῖ εἰς τὸ
the(-one) choosing the good — God co-works for the
ἀγαθόν· εἶτα, «Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω,»
good then I-will-dwell in them and walk-among
καὶ, «Ναοί ἐσμεν Θεοῦ, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν
and temples we-are of-God and the Spirit — of-God dwells in
ἡμῖν.» Εἶτα, «Ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων
us then he-gave them authority against spirits
ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ, καὶ θεραπεύειν πᾶσαν
unclean so-as to-cast-out them and to-heal every
νόσον, καὶ πᾶσαν μαλακίαν.» Καὶ, «Ὅσα ποιῶ, καὶ
disease and every infirmity and whatever I-do also
ὑμεῖς ποιήσετε, καὶ μείζονα τούτων ποιήσετε.» Εἶτα, «Ζῶ
you shall-do and greater than-these shall-do then live
ἐγὼ, λέγει Κύριος, ἀλλ' ἢ τοὺς δοξάζοντάς με δοξάσω·»
I says Lord but only those glorifying me I-will-glorify
καὶ, «Εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν.» Καὶ,
and if-indeed we-suffer-with that also we-may-be-glorified-with and
«Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν· ἐν μέσῳ δὲ θεοὺς
— God stood in congregation of-gods in midst and gods
διακρινεῖ.» Ὥσπερ τοίνυν ἀληθῶς εἰσι οὐ φύσει, ἀλλ'
he-will-judge just-as then truly they-are not by-nature but
ὡς τοῦ φύσει Θεοῦ μέτοχοι, οὕτως εἰσὶ προσκυνητοὶ,
as of-the by-nature God partakers so they-are venerable
οὐχὶ φύσει, ἀλλ' ὡς τὸν φύσει προσκυνητὸν ἐν ἑαυτοῖς
not by-nature but as the by-nature venerable in themselves
ἔχοντες. Ὥσπερ ὁ πεπυρακτωμένος σίδηρος οὐ φύσει
having just-as the red-hot iron not by-nature

ἐστὶν ἀπρόσιτος ἁφῇ, καὶ καυστικὸς, ἀλλ᾽ ὡς μετέχων τοῦ
is unapproachable to-touch and burning but as partaking of-the
φύσει καυστικοῦ. Προσκυνοῦνται οὖν, ὡς δεδοξασμένοι ὑπὸ
by-nature burning they-are-venerated then as glorified by
Θεοῦ, ὡς ὑπὸ Θεοῦ γενόμενοι τοῖς ὑπεναντίοις φοβεροὶ, καὶ
God as by God having-become to-the adversaries fearful and
εὐεργέται τοῖς πίστει προσιοῦσιν, οὐχ ὡς φύσει θεοῖς
benefactors to-the(-ones) in-faith approaching not as by-nature gods
καὶ εὐεργέταις, ἀλλ᾽ ὡς θεράπουσι καὶ λειτουργοῖς Θεοῦ,
and benefactors but as servants and ministers of-God
καὶ τὴν ἐξ ἀγάπης πρὸς αὐτὸν εὐμοιρήσασι παῤῥησίαν.
and the from love toward him having-been-granted boldness
Προσκυνοῦμεν οὖν αὐτοῖς, ἐπειδὴ θεραπεύεται ὁ βασιλεὺς
we-venerate then them since is-served the king
θεωρῶν προσκυνούμενον τὸν ἠγαπημένον αὐτῷ θεράποντα,
beholding venerated the beloved by-him servant
οὐχ ὡς βασιλέα, ἀλλ᾽ ὡς λειτουργὸν ὑπήκοον, καὶ εὐνοϊκὸν
not as king but as minister obedient and well-disposed
φίλον· καὶ λαμβάνουσι τὰς αἰτήσεις οἱ προσιόντες πίστει,
friend and receive the requests those approaching in-faith
εἴτε τοῦ αἰτοῦντος τοῦτο παρὰ τοῦ βασιλέως, εἴτε τοῦ
either of-the(-one) asking this from the king or of-the
βασιλέως ἀποδεχομένου τὴν τιμὴν καὶ τὴν πίστιν τοῦ
king accepting the honor and the faith of-the(-one)
ζητοῦντος παρὰ τοῦ θεράποντος αὐτοῦ· δι᾽ αὐτὸν
seeking from the servant his because-of him
γὰρ ᾔτησεν. Οὕτω διὰ τῶν ἀποστόλων οἱ προσιόντες
for he-asked thus through the apostles those approaching
ἐτύγχανον τῶν ἰάσεων. Οὕτως ἡ σκιὰ, καὶ τὰ σουδάρια, καὶ
obtained the healings thus the shadow and the handkerchiefs and
τὰ σιμικίνθια τῶν ἀποστόλων ἐπήγαζον τὰ ἰάματα. Ὅσοι
the aprons of-the apostles poured-forth the cures as-many-as

δὲ ἀνταρτικῶς καὶ ἀποστατικῶς θέλουσι προσκυνεῖσθαι
but rebelliously and apostatically wish to-be-venerated
ὡς θεοὶ, οὗτοί εἰσιν ἀπροσκύνητοι, καὶ τοῦ αἰωνίου πυρὸς
as gods these are not-venerable and of-the eternal fire
ἄξιοι. Καὶ ὅσοι καταφρονητικῶς, ὑπερηφάνῳ φρονήματι
worthy and as-many-as contemptuously with-arrogant mind
μὴ προσκυνοῦσι τοῖς Θεοῦ θεράπουσιν, ὡς ἀλαζόνες καὶ
not venerate the of-God servants as boasters and
ὑπερήφανοι, ὡς εἰς Θεὸν ἀσεβοῦντες καταδικάζονται.
arrogant as against God being-impious are-condemned
Καὶ μαρτυροῦσιν οἱ παῖδες οἱ Ἐλισσαίου καταφρονητικῶς
and bear-witness the children the of-Elisha contemptuously
καταβοήσαντες, καὶ βορὰ τοῖς ἄρκτοις γενόμενοι.
having-shouted-at and food for-the bears having-become
34 Δεύτερος τρόπος, καθ' ὃν προσκυνοῦμεν κτίσματα,
second mode according-to which we-venerate creatures
δι' ὧν καὶ ἐν οἷς ἐνήργησεν ὁ Θεὸς τὴν σωτηρίαν
through which and in which worked — God the salvation
ἡμῶν, εἴτε πρὸ τῆς τοῦ Κυρίου παρουσίας, εἴτε μετὰ τὴν
our whether before the of-the Lord coming or after the
ἔνσαρκον αὐτοῦ οἰκονομίαν, ὡς τὸ Σιναῖον ὄρος, καὶ τὴν
incarnate his dispensation as the Sinai mountain and —
Ναζαρὲτ, τὴν φάτνην τὴν ἐν Βηθλεὲμ, καὶ τὸ σπήλαιον,
Nazareth the manger the in Bethlehem and the cave
τὸν Γοργοθᾶν τὸν ἅγιον, τοῦ σταυροῦ τὸ ξύλον, τοὺς
— Golgotha the holy of-the cross the wood the
ἥλους, τὸν σπόγγον, τὸν κάλαμον, τὴν λόγχην τὴν ἱερὰν
nails the sponge the reed the lance the holy
καὶ σωτήριον, τὴν ἔσθητα, τὸν χιτῶνα, τοὺς σίνδονας,
and saving the robe the tunic the linens
τὰ σπάργανα, τὸν τάφον τὸν ἅγιον τὴν πηγὴν τῆς
the swaddling-clothes the tomb the holy the source of-the

ἡμῶν ἀναστάσεως, τὸν λίθον τοῦ μνήματος, τὴν Σιὼν
our resurrection the stone of-the tomb — Zion
τὸ ὄρος τὸ ἅγιον, τὸ τῶν Ἐλαιῶν αὖθις ὄρος, τὴν
the mountain the holy the of-the Olives again mountain the
προβατικὴν, καὶ Γεθσημανῆς τὸ ὅλβιον τέμενος· ταῦτα
sheep-pool and of-Gethsemane the blessed precinct these-things
καὶ τὰ τοιαῦτα σέβω, καὶ προσκυνῶ, καὶ πάντα ναὸν
and the such-things I-revere and I-venerate and every temple
Θεοῦ ἅγιον, καὶ πᾶν ἐφ' ᾧ Θεὸς ὀνομάζεται· οὐ διὰ
of-God holy and everything on which God is-named not because-of
τὴν αὐτῶν φύσιν, ἀλλ' ὅτι θείας ἐνεργείας εἰσὶ δοχεῖα,
the their nature but because of-divine energy they-are receptacles
καὶ δι' αὐτῶν, καὶ ἐν αὐτοῖς ηὐδόκησεν ὁ Θεὸς τὴν
and through them and in them was-pleased — God the
σωτηρίαν ἡμῶν κατεργάσασθαι. Καὶ ἀγγέλους γὰρ, καὶ
salvation our to-accomplish and angels for and
ἀνθρώπους, καὶ πᾶσαν ὕλην τῆς θείας ἐνεργείας μέτοχον,
men and all matter of-the divine energy partaking
καὶ διακονησαμένην τὴν σωτηρίαν μου, σέβω καὶ προσκυνῶ
and having-ministered the salvation my I-revere and venerate
διὰ τὴν θείαν ἐνέργειαν· οὐ προσκυνῶ Ἰουδαίοις· οὐ
because-of the divine energy not I-venerate Jews not
γὰρ θείας εἰσὶν ἐνεργείας μέτοχοι, οὐδὲ σκοπῷ τῆς
for of-divine are energy partakers nor with-aim of-the
ἐμῆς σωτηρίας, τὸν Κύριον τῆς δόξης τὸν Θεόν μου,
my salvation the Lord of-the glory — God my
ἐσταύρωσαν, φθόνῳ δὲ μᾶλλον, καὶ μίσει πρὸς τὸν Θεὸν
they-crucified from-envy but rather and from-hatred toward — God
καὶ εὐεργέτην βαλλόμενοι. «Κύριε, ἠγάπησα εὐπρέπειαν
and benefactor being-moved Lord I-loved beauty
οἴκου σου, φησὶν ὁ Δαβὶδ, καὶ τόπον σκηνώματος δόξης
of-house your says — David and place of-dwelling of-glory

σου.» Καί· «Προσκυνήσατε εἰς τὸν τόπον, οὗ ἔστησαν
your and venerate at the place where stood
οἱ πόδες αὐτοῦ.» Καί· «Προσκυνεῖτε εἰς ὄρος ἅγιον
the feet his and venerate at mountain holy
αὐτοῦ.» Ὄρος ἅγιον ἔμψυχον Θεοῦ, ἡ ἁγία Θεοτόκος·
his mountain holy living of-God the holy God-bearer
ὄρη Θεοῦ λογικά, οἱ ἀπόστολοι· «Τὰ ὄρη ἐσκίρτησαν
mountains of-God rational the apostles the mountains skipped
ὥσει κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων.»
like rams and the hills like lambs of-sheep

35 Τρίτος τρόπος, καθ' ὃν προσκυνοῦμεν τὰ τῷ
third mode according-to which we-venerate the(-things) —
Θεῷ ἀνακείμενα, τὰ ἱερά φημι Εὐαγγέλια καὶ τὰς λοιπὰς
to-God dedicated the holy I-mean Gospels and the remaining
βίβλους. «Ἐγράφησαν γὰρ πρὸς νουθεσίαν ἡμῶν, εἰς
books they-were-written for toward admonition our to
οὓς τὰ τέλη τῶν αἰώνων κατήντησαν·» δίσκοι τε, καὶ
whom the ends of-the ages have-come plates both and
ποτήρια, θυμιατοὶ, λυχνίαι, καὶ τράπεζαι, δῆλον γὰρ ὡς
cups censers lampstands and tables clear for that
πάντα ταῦτα σεβάσμια· ὅρα γὰρ, ὅτε Βαλτάσαρ ἐποίησεν
all these revered see for when Belshazzar made
ὑπηρετηθῆναι τὸν λαὸν τοῖς σκεύεσιν τοῖς ἱερατικοῖς,
to-be-served the people with-the vessels the priestly
πῶς καθεῖλεν ὁ Θεὸς τὴν βασιλείαν αὐτοῦ.
how pulled-down — God the kingdom his

36 Τέταρτος τρόπος, καθ' ὃν προσκυνοῦνται αἱ εἰκόνες
fourth mode according-to which are-venerated the images
αἱ ὀφθεῖσαι τοῖς προφήταις (ἐν εἰκονικῇ γὰρ ὁράσει
the(-ones) seen by-the prophets in imaged for vision
εἶδον Θεὸν), καὶ αἱ τῶν ἐσομένων εἰκόνες, ὡς ἡ
they-saw God and the of-the(-things) going-to-be images as the

ῥάβδος Ἀαρὼν, εἰκονίζουσα τὸ τῆς Παρθένου μυστήριον, καὶ
staff of-Aaron imaging the of-the Virgin mystery and
ἡ στάμνος, καὶ ἡ τράπεζα· καὶ Ἰακὼβ δὲ προσεκύνησεν
the jar and the table and Jacob too venerated
ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου· τύπος δὲ ἦν τοῦ Σωτῆρος. Εἰσὶ
on the tip of-the staff type but it-was of-the Savior are
δὲ τῶν γεγονότων εἰκόνες εἰς μνημόσυνον· αὐτὴ δὲ ἡ
but of-the(-things) having-happened images for memorial itself but the
σκηνὴ εἰκὼν ἦν παγκόσμιος· «Ὅρα γὰρ, φησὶ τῷ Μωϋσῇ,
tent image was universal see for he-says — to-Moses
τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει·» καὶ τὰ Χερουβὶμ
the type the shown to-you in the mountain and the Cherubim
τὰ χρυσᾶ, ἔργον χωνευτὸν, καὶ τὰ Χερουβὶμ τὰ ἐν
the golden work cast and the Cherubim the(-ones) on
τῷ καταπετάσματι ἔργον ὑφαντόν. Οὕτω προσκυνοῦμεν
the veil work woven so we-venerate
τὸν τύπον τοῦ σταυροῦ τὸν τίμιον, τοῦ τε σωματικοῦ
the type of-the cross the precious of-the both bodily
χαρακτῆρος τοῦ Θεοῦ μου τὸ ὁμοίωμα, καὶ τῆς αὐτὸν
portrait — of-God my the likeness and of-the(-one) him
κατὰ σάρκα τεκούσης καὶ τῶν αὐτοῦ πάντων.
according-to flesh having-borne and of-the his all
Πέμπτος τρόπος, καθ' ὃν προσκυνοῦμεν ἀλλήλοις, ὡς 37
fifth mode according-to which we-venerate one-another as
μοῖραν Θεοῦ ἔχουσι, καὶ κατ' εἰκόνα Θεοῦ γεγενημένοις,
portion of-God having and according-to image of-God made
ἀλλήλοις τε ταπεινούμενοι, καὶ νόμον πληροῦντες ἀγάπης.
one-another both humbling and law fulfilling of-love
Ἕκτος τρόπος, τῶν ἐν ἀρχαῖς καὶ ἐξουσίαις ὄντων. 38
sixth mode of-the(-ones) in rules and authorities being
«Ἀπόδοτε γὰρ, φησὶ, πᾶσι τὰς ὀφειλὰς, τῷ τὴν τιμὴν,
render for he-says to-all the dues to-the(-one) the honor

τὴν τιμήν.» Ὡς Ἰακὼβ τῷ τε Ἡσαῦ, ὡς προγενεστέρῳ
the honor as Jacob — both to-Esau as elder
ἀδελφῷ, καὶ Φαραὼ, ὑπὸ Θεοῦ χειροτονηθέντι ἄρχοντι,
brother and to-Pharaoh by God appointed ruler
προσεκύνησεν.
venerated

of-Theodoret bishop of-Cyrrhus from the Religious History
περὶ Μακεδονίου Ἀσιανίτου.
about Macedonius the-Asianite
«Ἄλλοτε δὲ τῆς πόλεως ἀπό τινος πονηροῦ δαίμονος
at-another-time but the city by some wicked demon
βακχευθείσης, ὡς δῆθεν νόσον ἀποδιῶξαι, τῇ μανίᾳ κατὰ
having-been-maddened as supposedly disease to-drive-away the madness against
τῶν βασιλικῶν ἐχρήσαντο στηλῶν ἀνοήτως.»
the imperial they-used statues senselessly

Ἐκ τῆς ἐκκλησιαστικῆς Ἱστορίας Θεοδώρου ἀναγνώστου
from the ecclesiastical History of-Theodore reader
Κωνσταντινουπόλεως, περί τινος αἱρετικοῦ Παλλαδίου.
of-Constantinople about a-certain heretic Palladius
«Ὁ δὲ τῆς Ἀντιοχείας ἐπίσκοπος Παλλάδιος πρὸς χάριν
the but — of-Antioch bishop Palladius for favor
βασιλέως διαπραττόμενος, τοὺς τοῖς ἐν Χαλκηδόνι ἁγίοις
of-emperor acting those the in Chalcedon holy
δόγμασιν ἑπομένους ἐμυσάττετο καὶ τὰς τῶν ἁγίων
doctrines following loathed and the of-the holy
Πατέρων εἰκόνας καθεῖλεν.»
Fathers images pulled-down
Ἐκ τοῦ Βίου τοῦ ἁγίου Κωνσταντίνου, τοῦ τρίτου βιβλίου,
from the Life of-the holy Constantine the third book
κεφ. δ΄.
chapter 4
«Τὰ μὲν οὖν αὐτῷ καταθυμίως συνετελεῖτο· τὰ
the(-things) indeed then to-him to-his-mind were-accomplished the(-things)
δὲ τῆς τοῦ φθόνου βασκανίας, δεινῶς τὰς κατὰ τὴν
but of-the of-the envy malice terribly the in —
Ἀλεξανδρείαν Ἐκκλησίας ἐκταράττοντα, καὶ τὰ Θηβαίων
Alexandria Churches troubling and the of-Thebans
τε καὶ Αἰγυπτίων σχίσματα ἐποίουν, καὶ ἄλλα κακὰ οὐ
both and of-Egyptians schisms made and other evils not
σμικρὰ, αὐτῶν ἐκείνων προσρηγνυμένων καθ' ἑκάστην πόλιν,
small of-them those dashing-against in each city
ἐπισκόπων ἐπισκόποις, δήμων τε δήμοις ἐπανισταμένων·
of-bishops against-bishops of-peoples both against-peoples rising-up
καὶ μονονουχὶ συμπληγάδες, κατακοπτόντων ἀλλήλους.
and almost-like Symplegades hacking one-another

Ὥστε ἰδεῖν, φρενῶν ἐκστάσει, ἀνοσίοις ἐγχειρεῖν, καὶ τὰς
so-that to-see of-minds in-frenzy unholy-deeds to-attempt and the
βασιλέων ἀφρόνως ὑβρίζειν εἰκόνας.»
of-emperors senselessly to-insult images
Τῆς ἐκκλησιαστικῆς Ἱστορίας, περὶ τῶν τὰ Διοσκόρου
of-the ecclesiastical History about those the of-Dioscorus
φρονούντων.
thinking
«Εἰς τοσοῦτον γὰρ ἐληλύθει τῆς τόλμης, ὥστε καὶ τὰ
to such for he-had-come of-the daring that also the
τῶν ἐκεῖ γεγονότων μακαρίων ποιμένων ὀνόματα τῶν
of-the there having-been blessed shepherds names from-the
ἱερῶν διπτύχων ἀνεῖλε, καὶ τὰς αὐτῶν εἰκόνας καθεῖλε,
holy diptychs he-removed and the their images pulled-down
κατακαύσας τυραννικῶς.»
having-burned tyrannically
Τῆς αὐτῆς ἱστορίας, περὶ τοῦ διαδεξαμένου τὸν θρόνον
of-the same history about the(-one) having-succeeded-to the throne
Κωνσταντινουπόλεως μετὰ Μακεδόνιον, αἱρετικόν.
of-Constantinople after Macedonius heretic
«Οὗτος ὁ ἀνόσιος, ἐν ταῖς συνάξεσιν ἀπερχόμενος,
this the unholy(-one) in the assemblies going-off
τοὺς σεπτοὺς οἴκους ἀναθεωρεῖσθαι κελεύων, εἴ που
the august houses to-be-inspected ordering if somewhere
γεγραμμένον ἐν εἰκόνι εὕρισκε Μακεδόνιον, ταύτην εἰ μὴ
painted in image he-found Macedonius this if not
καθεῖλεν, οὐκ ἂν ἐλειτούργει.»
he-pulled-down not — he-would-celebrate-the-liturgy

Τῆς αὐτῆς ἱστορίας, περὶ Ἰουλιανοῦ καὶ Τιμοθέου.
of-the same history about Julian and Timothy
«Τοῦτον τὸν Ἰουλιανὸν γνωρίζουσί τινες τῶν ταῖς
this — Julian make-known some of-the(-ones) in-the
ταραχαῖς χαιρόντων, Τιμοθέῳ τῷ ἐπισκόπῳ ὑπὸ τοῦ
disturbances rejoicing to-Timothy the bishop by the
προλεχθέντος Μακεδονίου συγκροτηθέντα, καὶ δι' ἣν
aforesaid Macedonius having-been-organized and for which
αἰτίαν συνεκροτεῖτο. Διὰ τῶν ὑπηρετουμένων αὐτῷ
cause he-was-organized through the serving him
θᾶττον παρενέγκας, παρόντων καὶ πολιτικῶν ἀρχόντων
more-quickly having-brought-in being-present also civic rulers
ἐν τῷ ἐπισκοπείῳ, ἠνάγκαζε τὰ τῆς ἐν Χαλκηδόνι
in the bishop's-house he-compelled the(-decrees) of-the in Chalcedon
συνόδου ἀναθέματι ὑποβαλεῖν. Δεόμενος δὲ ὁ γέρων
synod to-anathema to-subject begging but the old-man
ταῖς εἰκόσι τῶν κατοιχομένων ἱερέων, Φλαβιανοῦ καὶ
by-the images of-the departed priests of-Flavian and
Ἀνατολίου τῶν ἀρχιεπισκόπων, ἐν Κωνσταντινουπόλει
of-Anatolius the archbishops in Constantinople
κεχρωματισμένων, δι' ὧν ἡ ἐν Χαλκηδόνι σύνοδος τὸ
painted through whom the in Chalcedon synod the
κῦρος ἐκτήσατο, ἐκραύγαζεν· Εἰ μὴ θέλετε ἀφήσειν τὰ
authority acquired he-cried-out if not you-wish to-let the(-decrees)
τῆς λελεγμένης ἁγίας συνόδου ἀναθεματίσαι, τὰς τῶν
of-the said holy synod to-anathematize the of-the
ἐπισκόπων εἰκόνας, καὶ τῶν ἱερῶν διπτύχων ἀπαλεῖψαι.»
bishops images and from-the holy diptychs to-wipe-out

Τοῦ Χρυσοστόμου, ἐκ τῆς εἰς τὸν ἅγιον Φλαβιανὸν
of-the Chrysostom from the on the holy Flavian
Ἀντιοχείας.
of-Antioch
«Καὶ ὁ ὄχλος ἐδείχθη τοῦτο ὅπερ ἐστίν· ἀλόγῳ γὰρ
and the crowd was-shown this which it-is irrational for
χρησάμενοι ὁρμῇ στρατηγῷ, ὥρμων κατὰ τῶν βασιλικῶν
having-used impulse as-general they-rushed against the imperial
εἰκόνων καὶ στηλῶν, καὶ καταβαλόντες ταύτας, ἔσυρον
images and statues and having-thrown-down these they-dragged
διὰ τῆς ἀγορᾶς. Ἡ γὰρ μανία τὰς φρένας ἐλύττησε,
through the market the for madness the minds maddened
καὶ τοὺς σώφρονας λογισμοὺς ἐτύφλωσεν ὁ θυμός.»
and the sober reasonings blinded the anger
Τοῦ αὐτοῦ λόγου ἐκ τοῦ Πατριάρχου Φλαβιανοῦ πρὸς
of-the same discourse from the Patriarch Flavian to
Θεοδόσιον τὸν μέγαν βασιλέα.
Theodosius the great emperor
«Ἡμάρτομεν, ὦ βασιλεῦ· οὐ κρύπτομεν τὴν ἁμαρτίαν, ἧς
we-have-sinned O emperor not we-hide the sin which
καὶ ἡ κτίσις κατηγορεῖ. Οὐκ ἀρνούμεθα τὴν μανίαν, ἣν
even the creation accuses not we-deny the madness which
κατὰ τῶν σῶν εἰκόνων ἐμάνημεν, μᾶλλον δὲ καθ' ἑαυτῶν·
against the your images we-raved rather but against ourselves
ἀλλὰ τὴν φιλανθρωπίαν, ὡς κατάκριτοι περιμένομεν.»
but the love-for-men as condemned we-await
Καὶ πάλιν τοῦ αὐτοῦ, ἐκ τοῦ ἁγίου Φλαβιανοῦ.
and again of-the same from the holy Flavian
«Μὴ διαφθείρῃς τοσαύτας εἰκόνας διὰ μίαν εἰκόνα
not destroy so-many images because-of one image
χαλκῆν· μὴ συντρίψῃς τοσαῦτα πλαστουργήματα θεῖα, δι'
bronze not shatter so-many fashionings divine because-of

ἓν χαλκότυπον πλαστούργημα, δυνάμενον χωνευσθῆναι
one bronze-cast fashioning able to-be-melted
ῥᾳδίως.»
easily
Τοῦ αὐτοῦ, Χρυσοστόμου, ὅτι Παλαιᾶς καὶ Καινῆς εἷς ὁ
of-the same Chrysostom that of-Old and of-New one the
νομοθέτης, καὶ εἰς τὸ ἔνδυμα τοῦ ἱερέως.
lawgiver and on the garment of-the priest
«Ἐγὼ καὶ τὴν κηρόχυτον γραφὴν ἠγάπησα, εὐσεβείας
I also the wax-poured painting loved with-piety
πεπληρωμένην. Εἶδον γὰρ ἄγγελον ἐν εἰκόνι, στίφη
filled I-saw for angel in image troops
Βαρβάρων διώκοντα, καὶ πατούμενα βαρβάρων φῦλα,
of-Barbarians pursuing and trampled of-barbarians tribes
καὶ τὸν Δαβὶδ ἀληθεύοντα· Κύριε, ἐν τῇ πόλει σου τὴν
and — David speaking-true Lord in the city your the
εἰκόνα αὐτῶν ἐξουδενώσεις.»
image their you-will-despise
Τοῦ ἁγίου Βασιλείου, εἰς τὸ Ἐγκώμιον τῶν ἁγίων μ΄
of-the holy Basil on the Encomium of-the holy 40
μαρτύρων.
martyrs
«Δεῦρο δὴ οὖν, εἰς μέσον αὐτοὺς ἀγαγόντες διὰ τῆς
come indeed then into midst them having-brought through the
ὑπομνήσεως, κοινὴν τὴν ἀπ᾽ αὐτῶν ὠφέλειαν τοῖς παροῦσι
remembrance common the from them benefit for-the present
καταστησώμεθα, προδείξαντες πᾶσιν, ὥσπερ ἐν γραφῇ τὰς
let-us-make having-displayed to-all as in painting the
τῶν ἀνδρῶν ἀριστείας. Ἐπεὶ καὶ πολέμων ἀνδραγαθήματα,
of-the men exploits since also of-wars brave-deeds
καὶ λογογράφοι καὶ ζωγράφοι διασημαίνουσιν· οἱ
both prose-writers and painters signalize the(-ones)

μὲν τῷ λόγῳ κοσμοῦντες, οἱ δὲ τοῖς πίναξιν
indeed by-the word adorning the(-others) but on-the panels
ἐγχαράττοντες, καὶ πολλοὺς ἐπ᾽ ἀνδρείαν ἐπήγειραν ἑκάτεροι.
engraving and many to courage roused each
Ἃ γὰρ ὁ λόγος τῆς ἱστορίας δι᾽ ἀκοῆς παρίστησι,
what for the word of-the history through hearing presents
ταῦτα γραφικὴ σιωπῶσα διὰ μιμήσεως δείκνυσιν.»
these-things painting being-silent through imitation shows
Τοῦ ἁγίου Γρηγορίου Ναζιανζοῦ, ἐκ τῶν Ἐπῶν.
of-the holy Gregory of-Nazianzus from the Verses

«Ἢ μὴ διδάσκειν, ἢ διδάσκειν τῷ τρόπῳ,
either not to-teach or to-teach by-the manner
Μὴ τῇ μὲν ἕλκειν, τῇ δ᾽ ἀπωθεῖσθαι χεροῖν,
not with-the indeed to-draw with-the other to-thrust-away with-two-hands
Ἧττον δεήσῃ τοῦ λέγειν, πράττων ἃ δεῖ.
less you-will-need of-the speaking doing what one-must
Γραφεὺς διδάσκει τὸ πλέον τοῖς ἐκτύποις.»
painter teaches the more by-the figures

Τοῦ αὐτοῦ μετάφρασις.
of-the same paraphrase
«Ἐὰν, φησὶ, τῷ τρόπῳ οὐ διδάσκῃς, μὴ δίδασκε τῷ
if he-says by-the manner not you-teach not teach by-the
λόγῳ, ἵνα μὴ οὓς ἕλκῃς τῷ λόγῳ, τούτους διὰ τὸ
word so-that not whom you-draw by-the word these because-of the
μὴ ἔχειν τρόπον χρηστὸν ἀποδιώκῃς. Πράττων γὰρ ἅπερ
not to-have manner good you-drive-away doing for what
χρὴ, αὕτη ἡ ἀρτία πρᾶξις, καὶ λόγος διδασκαλίας ἔσται,
one-must this the complete action also word of-teaching will-be
ὥσπερ ὁ ζωγράφος τοῖς τύποις κατὰ τὸ πλέον διδάσκει.»
just-as the painter by-the figures for the most-part teaches

Τοῦ αὐτοῦ.

of-the same

«Οὐδὲ Πολέμων ἔμοιγε σιγηθήσεται.

not-even Polemon by-me will-be-passed-over-in-silence

Καὶ γὰρ τὸ θαῦμα τῶν ἄγαν λαλουμένων.

and for the wonder of-the much talked-about(-things)

Ἦν μὲν τὸ πρόσθεν οὗτος οὐκ ἐν σώφροσι,

was indeed the before this-man not among sober(-men)

Καὶ σφόδρα γ' αἰσχρὸς ἡδονῶν ὑπηρέτης.

and very indeed shameful of-pleasures servant

Ἐπεὶ δ' ἔρωτι τοῦ καλοῦ κατεσχέθη,

when but by-love of-the beautiful he-was-seized

Σύμβουλον εὑρὼν, οὐκ ἔχω δ' εἰπεῖν τίνα,

counselor having-found not I-can but to-say whom

Εἴτ' οὖν σοφόν τιν', εἴθ' ἑαυτὸν, ἀθρόως

whether then wise someone or himself all-at-once

Τοσοῦτον ὤφθη τῶν παθῶν ἀνώτερος,

so-much was-seen than-the passions higher

Ὥσθ' ἕν τι θήσω τῶν ἐκείνου θαυμάτων.

so-that one some I-will-set of-the his wonders

Ἑταίραν εἰσκαλεῖ τις ἀκρατὴς νέος,
courtesan calls-in a-certain incontinent youth
Ἡ δ' ὡς πυλῶνος ἦλθέ φασι πλησίον,
she and as of-(the)-gate came they-say near
Τῆς δ' ἦν ὑπερκύπτων Πολέμων ἐν εἰκόνι,
of-it but was looking-over Polemon in image
Ταύτην ἰδοῦσα· καὶ γὰρ ἦν σεβασμία·
this having-seen and for it-was revered
Ἀπῆλθεν εὐθὺς, καὶ θέας ἡττημένη,
went-away at-once also by-the-sight overcome
Ὡς ζῶντ' ἐπαισχυνθεῖσα τὸν γεγραμμένον.»
as living having-been-ashamed-before the painted(-one)

Τοῦ Χρυσοστόμου, ἐκ τῆς πρὸς Τιμόθεον Ἐπιστολῆς,
of-the Chrysostom from the to Timothy Epistle
κεφαλαίου ὀγδόου.
chapter eighth
«Ἀλλὰ τύπος γενοῦ τῶν πιστῶν, περὶ πάντα σεαυτὸν
but type become of-the faithful in all-things yourself
παρεχόμενος τύπον καλῶν ἔργων, τουτέστι τῷ ἀρχετύπῳ
presenting type of-good works that-is in-the archetype
τοῦ βίου, αὐτὸς ἔσο ὥσπερ εἰκὼν προκείμενος.»
of-the life yourself be as image set-forth
Ἐκ τοῦ προσφωνητικοῦ τῆς ἁγίας ἕκτης συνόδου.
from the address of-the holy sixth synod
«Πάλιν Νεστόριος, καὶ πάλιν Κελεστῖνος καὶ Κύριλλος.
again Nestorius and again Celestine and Cyril
Ὁ μὲν γὰρ, τὸν Χριστὸν διῄρει καὶ κατεδίκαζεν,
the(-one) indeed for — Christ divided and condemned
οἱ δὲ, τῷ Δεσπότῃ συλλαμβανόμενοι, τὸν κατατομέα
the(-ones) but the Master assisting the cutter

κατέβαλλον. Ἔφεσος ταῦτα, καὶ τῶν ἐκεῖσε πραχθέντων
cast-down Ephesus these-things and of-the there done
οἱ πίνακες, δι᾽ ἀγράφου φωνῆς, σιγῶντες λαλοῦσι τὰ
the panels through unwritten voice being-silent speak the
πράγματα.»
deeds
Τοῦ ἀρχαιοτάτου Κλήμεντος, πρὸς Ἀλέξανδρον, ἐκ τοῦ
of-the most-ancient Clement to Alexander from the
ἑβδόμου βιβλίου τῶν Στρωματέων.
seventh book of-the Miscellanies
«Οὐκοῦν, οὐ μόνος ἐπαινεῖ τὰ καλὰ, ἀλλὰ αὐτὸς βιάζεται
therefore not alone he-praises the good-things but himself forces-himself
τοῦ εἶναι καλὸς, ἐκ τοῦ ἀγαθοῦ καὶ πιστοῦ δούλου
for-the to-be good from the good and faithful slave
μεταβαίνων δι᾽ ἀγάπης εἰς φίλον, διὰ τὸ τέλειον τῆς
passing through love into friend because-of the perfection of-the
ἕξεως, ὃ ἐκ μαθήσεως ἀληθοῦς καὶ συνασκήσεως πολλῆς
habit which from learning true and practice much
καθαρῶς ἐκτήσατο. Ὡς ἂν οὖν ἐπ᾽ ἄκρον γνώσεως ἥκῃ,
purely he-acquired as — then to summit of-knowledge he-comes
βιαζόμενος τῷ ἤθει, καὶ κεκοσμημένος, τῷ σχήματι
forcing-himself in-the character and adorned in-the bearing
κατεσταλμένος, πάντα ἐκεῖνα ἔχων, ὅσα πλεονεκτήματά
restrained all those having whatever advantages
ἐστι τοῦ κατὰ ἀλήθειαν γνωστικοῦ, εἰς τὰς εἰκόνας
are of-the according-to truth gnostic to the images
ἀφορῶν τὰς καλὰς, πολλοὺς μὲν τοὺς κατωρθωκότας πρὸ
looking the good many indeed the having-succeeded before
αὐτοῦ πατριάρχας, παμπόλλους δὲ προφήτας, ἀπείρους
him patriarchs very-many but prophets countless
δὲ ὅσους ἡμῖν ἀριθμῷ λογιζόμενος ἀγγέλους, καὶ τὸν
but how-many to-us in-number reckoning angels and the

ἐπὶ πᾶσι Κύριον, τὸν διδάξαντα καὶ παραστήσαντα,
over all Lord the(-one) having-taught and having-shown
δυνατὸν εἶναι τῶν κορυφαίων ἐκείνων κτήσασθαι βίον.»
possible to-be of-the chief those to-acquire life
Τοῦ ἁγίου Θεοδώρου ἐπισκόπου Πενταπόλεως.
of-the holy Theodore bishop of-Pentapolis
«Πάλιν τις ἀνὴρ, τῶν πρώτων τῆς χώρας ἐκείνης, Δίων
again a-certain man of-the first of-the country that Dion
τοὔνομα, ὃς πολλοῖς ἀναθέμασι κατεκόσμησε τὸν ναὸν τοῦ
by-name who with-many offerings adorned the church of-the
ἁγίου μάρτυρος, καὶ τὸ θυσιαστήριον αὐτοῦ ἀργυρένδυτον
holy martyr and the altar its silver-clad
ἐποίησε. Καί τις τῶν οἰκετῶν αὐτοῦ, κλέψας ἐξ αὐτοῦ
made and one of-the servants his having-stolen from him
χρήματα πολλὰ, ἀπέδρα. Ὁ δὲ Δίων, οὐ κατεδίωξεν
money much ran-away — but Dion not pursued
ὀπίσω αὐτοῦ, ἀλλ᾽ εἰς τὴν τοῦ μάρτυρος εἰκόνα ἀπελθὼν,
after him but to the of-the martyr image having-gone
κηρῷ τὸν τύπον τῆς εἰκόνος αὐτοῦ ἀνέμαξε, καὶ τῇ
with-wax the impression of-the image his took-off and with-the
πίστει τοῦ ἁγίου μάρτυρος ἐν τῷ πυλεῶνι ἐκ τοῦ οἴκου
faith of-the holy martyr in the gateway from the house
αὐτοῦ ἐνέπηξε. Καὶ θεὶς, ὁ παῖς ἑαυτὸν ἐπέστρεφεν ὡς
his fixed and having-set the boy himself turned-back as
ὑπό τινος ἐλαυνόμενος, καὶ ἦλθε πρὸς τὸν ἴδιον δεσπότην,
by some being-driven and came to the own master
μηδὲν ἐξ ὧν ἐσύλωσε σπανίσας. Τοῦτο οὖν πάντες
nothing of what he-had-plundered lacking this then all
μαθόντες, ἕως τῆς σήμερον ἡμέρας τοῖς ἀποδιδράσκουσιν
having-learned until the present day for-the runaways
ἐπιτελοῦσιν οἱ τῆς χώρας ἐκείνης.»
perform the(-ones) of-the country that

Athanasius: whoever venerates the king's image venerates the king in it. Ambrose, Cyril, Basil, Gregory, and Chrysostom speak of images honored whatever their material. Severian makes Moses strike the rock in the shape of a cross; Theophilus cannot die until he venerates Chrysostom's image. A painter who gave Christ the look of Zeus has his hands wither, and Cyrus and John intercede before an image of Christ for a subdeacon's healing.

Τοῦ ἁγίου Ἀθανασίου Ἀλεξανδρείας, ἐκ τοῦ Κατὰ
of-the holy Athanasius of-Alexandria from the against
Ἀρειανῶν βιβλίου τρίτου.
Arians book third

«Τῆς δὲ οὐσίας τοῦ Πατρὸς ἴδιον ὢν γέννημα ὁ Υἱὸς,
of-the but substance of-the Father own being offspring the Son
εἰκότως καὶ τὰ τοῦ Πατρὸς λέγει ἑαυτοῦ εἶναι, Ὅθεν
fittingly also the(-things) of-the Father says his-own to-be whence
πρεπόντως καὶ ἀκολούθως, τῷ λέγειν, Ἐγὼ καὶ ὁ Πατὴρ
fittingly and consistently with-the saying I and the Father
ἕν ἐσμεν, ἐπήγαγεν· Ἵνα γνῶτε, ὅτι ἐγὼ ἐν τῷ Πατρὶ
one are he-added that you-may-know that I in the Father
καὶ ὁ Πατὴρ ἐν ἐμοί. Τοῦτο δὲ πάλιν προείρηκεν· ὅτι Ὁ
and the Father in me this but again he-had-said-before that the(-one)
ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα. Καὶ ἔστιν εἷς καὶ οὗτος
having-seen me has-seen the Father and is one also this
νοῦς ἐν τοῖς τρισὶ ῥητοῖς. Ὁ γὰρ οὕτως ἐγνωκὼς, ὅτι
sense in the three sayings the(-one) for thus having-known that
ἕν εἰσιν ὁ Υἱὸς καὶ ὁ Πατὴρ, οἶδεν ὅτι αὐτὸς ἐν τῷ Πατρί
one are the Son and the Father knows that he in the Father
ἐστιν, καὶ ὁ Πατὴρ ἐν τῷ Υἱῷ· ἡ γὰρ Υἱοῦ θεότης, τοῦ
is and the Father in the Son the for of-Son godhead of-the
Πατρός ἐστι, καὶ αὐτὴ ἐν τῷ Υἱῷ ἐστι. Καὶ ὁ τοῦτο
Father is and it in the Son is and the(-one) this

δὲ καταλαβὼν ἐπίσταται, ὅτι ὁ ἑωρακὼς τὸν Υἱὸν,
but having-grasped understands that the(-one) having-seen the Son
ἑώρακε τὸν Πατέρα· ἐν γὰρ τῷ Υἱῷ ἡ τοῦ Πατρὸς θεότης
has-seen the Father in for the Son the of-the Father godhead
θεωρεῖται. Τοῦτο δὲ καὶ ἀπὸ τοῦ παραδείγματος τῆς εἰκόνος
is-beheld this but also from the example of-the image
τοῦ βασιλέως, προσεχέστερόν τις κατανοῆσαι δύναται.
of-the king more-closely one to-perceive can
Ἐν γὰρ τῇ εἰκόνι τοῦ βασιλέως, τὸ εἶδος καὶ ἡ μορφή
in for the image of-the king the form and the shape
ἐστι· καὶ ἐν τῷ βασιλεῖ δὲ, τὸ ἐν τῇ εἰκόνι εἶδός ἐστιν.
is and in the king but the in the image form is
Ἀπαράλλακτός ἐστιν ἐν τῇ εἰκόνι τοῦ βασιλέως ἡ ὁμοιότης,
unvarying is in the image of-the king the likeness
ὡς τὸν ὁρῶντα τὴν εἰκόνα, ὁρᾷν τὸν βασιλέα ἐν αὐτῇ,
so-that the(-one) seeing the image to-see the king in it
καὶ τὸν πάλιν ὁρῶντα τὸν βασιλέα, ἐπιγινώσκειν ὅτι
and the(-one) again seeing the king to-recognize that
οὗτός ἐστιν ὁ ἐν τῇ εἰκόνι. Ἐκ δὲ τοῦ μὴ διαλλάττειν
this is the(-one) in the image from but the not to-differ
τὴν ὁμοιότητα, τῷ θέλοντι μετὰ τὴν εἰκόνα τὸν
the likeness to-the(-one) wishing after the image the
βασιλέα θεωρῆσαι, εἴποι ἂν τούτῳ ἡ εἰκών· Ἐγὼ καὶ ὁ
king to-behold would-say — to-him the image I and the
βασιλεὺς ἕν τί ἐσμεν. Ἐγὼ γὰρ ἐν ἐκείνῳ εἰμὶ, κἀκεῖνος
king one something are I for in him am and-he
ἐν ἐμοί· καὶ ὃ ὁρᾷς ἐν ἐμοὶ, τοῦτο ἐν ἐκείνῳ βλέπεις, καὶ
in me and what you-see in me this in him you-see and
ὃ ἑώρακας ἐν ἐκείνῳ, βλέπεις τοῦτο ἐν ἐμοί· ὁ γὰρ
what you-have-seen in him you-see this in me the(-one) for

προσκυνῶν τὴν εἰκόνα, ἐν αὐτῇ προσκυνεῖ τὸν βασιλέα. Ἡ
venerating the image in it venerates the king the
γὰρ ἐκείνου μορφὴ καὶ τὸ εἶδος αὐτοῦ, ἐστὶν ἡ εἰκών.»
for his shape and the form his is the image
Τοῦ αὐτοῦ, πρὸς Ἀντίοχον ἄρχοντα.
of-the same to Antiochus ruler
«Τί φασι πρὸς ταῦτα οἱ ἀποστρεφόμενοι, καὶ
what say to these-things those turning-away and
ἐπιτρέποντες μὴ προσκυνεῖν τοὺς χαρακτῆρας τῶν ἁγίων,
enjoining not to-venerate the portraits of-the saints
οἵτινες δι᾽ ὑπόμνησιν παρ᾽ ἡμῶν ἐκτυποῦνται;»
which for remembrance by us are-imprinted
Ἀμβροσίου ἐπισκόπου Μεδιολάνων, πρὸς Γρατιανὸν τὸν
of-Ambrose bishop of-Milan to Gratian the
βασιλέα, περὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ Θεοῦ Λόγου.
emperor on the incarnate dispensation — of-God Word
«Θεὸς πρὸ τῆς σαρκὸς, καὶ Θεὸς ἐν σαρκί. Ἀλλὰ φόβος,
God before the flesh and God in flesh but fear
φησὶ, μὴ δύο ἡγεμονικὰ, ἢ σοφίαν διττὴν ἀπονέμοντες
he-says lest two ruling-principles or wisdom double assigning
Χριστῷ, μερίζειν δόξωμεν Χριστόν. Ἆρα οὖν, μὴ ὁπότε καὶ
to-Christ to-divide we-may-seem Christ is-it then not when both
τὴν θεότητα αὐτοῦ καὶ τὴν σάρκα προσκυνοῦμεν, μερίζομεν
the godhead his and the flesh we-venerate do-we-divide
τὸν Χριστόν; ἢ ὅτε ἐν τῷ αὐτῷ, καὶ τὴν τοῦ Θεοῦ εἰκόνα καὶ
— Christ or when in the same both the — of-God image and
τὸν σταυρὸν προσκυνοῦμεν, διαιροῦμεν αὐτόν; Μὴ γένοιτο!»
the cross we-venerate do-we-separate him not may-it-be

Κυρίλλου πατριάρχου Ἱεροσολύμων, τῆς δωδεκάτης
of-Cyril patriarch of-Jerusalem of-the twelfth
κατηχήσεως.
catechesis

«Εἰ τοίνυν ζητεῖς τῆς Χριστοῦ παρουσίας τὸ αἴτιον,
if then you-seek of-the of-Christ coming the cause
ἀνάδραμε ἐπὶ τὸ πρῶτον τῶν Γραφῶν βιβλίον. Ἐν ἓξ
run-back to the first of-the Scriptures book in six
ἡμέραις ἐποίησεν ὁ Θεὸς τὸν κόσμον, ἀλλ᾽ ὁ κόσμος,
days made — God the world but the world
διὰ τὸν ἄνθρωπον· ἥλιος μὲν γὰρ λαμπρότατος, αὐγαῖς
because-of the man sun indeed for most-bright with-rays
ἀποστίλβων, ἀλλὰ διὰ τὸν ἄνθρωπον, φαμὲν, ἐγένετο. Καὶ
glittering but because-of the man we-say came-to-be and
πάντα τὰ ζῶα διὰ τὸ δουλεύειν ἡμῖν κατέστη· βοτάναι
all the animals because-of the to-serve us were-established herbs
καὶ δένδρα, διὰ τὴν ἡμετέραν ἀπόλαυσιν. Ἐκτίσθη πάντα
and trees because-of the our enjoyment were-created all
καλὰ τὰ δημιουργήματα, ἀλλ᾽ οὐδὲν τούτων εἰκὼν τοῦ Θεοῦ,
good the creations but none of-these image — of-God
μόνος δὲ ἄνθρωπος. Ἥλιος προστάγματι μόνῳ, ἄνθρωπος δὲ
alone but man sun by-command alone man but
χερσὶ θείαις ἐπλάσθη· «Ποιήσωμεν γὰρ ἄνθρωπον κατ᾽
by-hands divine was-fashioned let-us-make for man according-to
εἰκόνα ἡμετέραν, καὶ καθ᾽ ὁμοίωσιν· εἰκὼν ξυλίνη ἐπιγείου
image our and according-to likeness image wooden of-earthly
βασιλέως τιμᾶται, πόσῳ γε μᾶλλον εἰκὼν λογικὴ Θεοῦ;»
king is-honored how-much indeed more image rational of-God

Τοῦ ἁγίου Βασιλείου πρὸς τὸν ἅγιον Φλαβιανὸν, περὶ τῆς
of-the holy Basil to the holy Flavian about the
Σαμαρείτιδος.
Samaritan-woman
«Ἐν τόπῳ εἶναι τὴν προσκύνησιν ἐκ τῆς ἐγχωρίου
in place to-be the veneration from the local
συνηθείας ἠπατημένην, ὁ Κύριος ἡμῶν μεταδιδάσκων· Ἐν
custom deceived the Lord our reteaching in
πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν, φησὶν, ἑαυτὸν λέγων
spirit and truth must venerate he-says himself saying
δηλαδὴ τὴν ἀλήθειαν. Ὥσπερ ἐν τῷ Υἱῷ προσκυνεῖν λέγομεν
clearly the truth just-as in the Son to-venerate we-say
τὸν Πατέρα, ὡς ἐν εἰκόνι Θεοῦ Πατρὸς, οὕτω καὶ ἐν τῷ
the Father as in image of-God Father so also in the
Πνεύματι, ὡς ἐν ἑαυτῷ δεικνύντι τὴν τοῦ Κυρίου θεότητα.»
Spirit as in himself showing the of-the Lord godhead
Τοῦ ἁγίου Γρηγορίου Ναζιανζοῦ, εἰς τὸ βάπτισμα.
of-the holy Gregory of-Nazianzus on the baptism
«Ἐάν σοι προσβάλῃ μετὰ τὸ βάπτισμα ὁ τοῦ φωτὸς
if you should-attack after the baptism the of-the light
διωκτής· προσβαλεῖ δέ· καὶ γὰρ τῷ Λόγῳ καὶ Θεῷ μου
persecutor he-will-attack but and for the Word and God my
προσέβαλε, τῷ κρυπτῷ φωτὶ διὰ τὸ φαινόμενον· ἔχεις
he-attacked the hidden light through the visible you-have
ᾧ νικήσεις· μὴ φοβηθῇς τὸν ἀγῶνα· προβαλοῦ τὸ
with-which you-will-conquer not fear the contest put-forward the
Πνεῦμα· προβαλοῦ τὸ ὕδωρ.» Καὶ μετ' ὀλίγα· «Εἰπὲ τῇ
Spirit put-forward the water and after a-little say in-the
σφραγίδι θαῤῥήσας· Εἰκών εἰμι Θεοῦ, τῆς ἄνω δόξης.
seal having-taken-courage image I-am of-God of-the above glory
Οὔπω δι' ἔπαρσιν ὥσπερ σὺ καταβέβλημαι. Χριστὸν
not-yet through pride as you I-have-been-cast-down Christ

ἐνδέδυμαι· Χριστὸν μεταπεποίημαι τῷ βαπτίσματι· σύ
I-have-put-on Christ I-have-been-remade by-the baptism you
με προσκύνησον.»
me venerate
Τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου εἰς τοὺς Μακκαβαίους.
of-the holy John the Chrysostom on the Maccabees
«Τὰ τῶν βασιλικῶν ἐκτυπώματα χαρακτήρων, οὐ μόνον
the of-the imperial imprints portraits not only
ἐν χρυσῷ καὶ ἀργύρῳ, καὶ ταῖς τιμιωτέραις ὕλαις
in gold and silver and the more-precious materials
εὕροι τις ἂν διαλάμποντα, ἀλλ' ἤδη καὶ ἐν χαλκῷ τὴν
would-find one — shining but now also in bronze the
αὐτὴν ἔστιν ἰδεῖν χαραττομένην μορφήν. Καὶ ἡ διαφορὰ
same it-is to-see engraved shape and the difference
τῶν ὑλῶν οὐ λυμαίνεται τῷ ἀξιώματι τοῦ χαρακτῆρος,
of-the materials not harms the dignity of-the portrait
οὐδὲ ἀμβλύνει τὴν ἀπὸ τῶν κρειττόνων τιμὴν ἡ τῆς
nor blunts the from the better honor the of-the
ἐλάττονος μετοχή, ἀλλὰ πάσας ὁμοίως ὁ βασιλικὸς
lesser sharing but all likewise the imperial
τύπος σεμνύνει, καὶ οὐδὲν ἀπὸ τῆς ὕλης ἐλαττούμενος,
figure dignifies and nothing from the material being-diminished
τιμιωτέραν τὴν δεχομένην ἐργάζεται.»
more-precious the(-matter) receiving makes
Τοῦ αὐτοῦ, Κατὰ Ἰουλιανοῦ τοῦ ἀθέου, ἐκ πρώτου λόγου.
of-the same against Julian the godless from first discourse
«Τί δὲ ὁ νέος Ναβουχοδονόζορ; Οὐδὲν γὰρ οὗτος
what but the new Nebuchadnezzar nothing for this-man
εἰς ἡμᾶς τοῦ πάλαι φιλανθρωπότερον ἐπεδείξατο,
toward us than-the old more-humane displayed
οὗ οἱ ἄνθρακες ἡμᾶς ἔτι διαθλίβουσιν, καὶ τὴν φλόγα
whose the coals us still afflict and the flame

διαπεφεύγαμεν. Οὐχὶ καὶ τὰ ἀναθήματα τῶν ἁγίων ἐπ'
we-have-escaped not also the offerings of-the saints in
ἐκκλησίαις κείμενα εἰς προσκύνησιν τῶν πιστῶν, δηλοῦσι
churches lying for veneration of-the faithful show
τὴν λώβην τοῦ σώματος;»
the mutilation of-the body
Τοῦ αὐτοῦ εἰς τὸν νιπτῆρα.
of-the same on the washbasin
«Ὥσπερ γὰρ, ὅταν βασιλικοὶ χαρακτῆρες καὶ εἰκόνες
just-as for when imperial portraits and images
εἰς πόλιν καταπέμπωνται, καὶ εἰσφέρωνται, ὑπαντῶσιν
into city are-sent and are-brought-in meet
ἄρχοντες καὶ δῆμοι μετ' εὐφημίας καὶ φόβου, οὐ σανίδα
rulers and peoples with acclamation and fear not board
τιμῶντες, οὐ τὴν κηρόχυτον γραφὴν, ἀλλὰ τὸν χαρακτῆρα
honoring not the wax-poured painting but the portrait
τοῦ βασιλέως· οὕτως καὶ ἡ κτίσις.»
of-the king so also the creation
Σευηριανοῦ Γαβάλων, εἰς τὸν σταυρὸν, λόγου τετάρτου.
of-Severian of-Gabala on the cross discourse fourth
«Ἐπάταξε Μωϋσῆς τὴν πέτραν, καὶ ἅπαξ καὶ δίς. Διὰ τί
struck Moses the rock both once and twice for what
ἅπαξ καὶ δίς; Εἰ δυνάμει Θεοῦ ὑπακούει, τίς χρεία δευτέρας
once and twice if by-power of-God it-obeys what need of-second
πληγῆς; Εἰ δὲ ἐκτὸς δυνάμεως Θεοῦ τύπτει, οὐ δευτέρα,
blow if but apart-from power of-God he-strikes not second
οὐ δεκάτη, οὐδὲ ἑκατοστὴ πληγὴ δυνήσεται ἐπιθεῖναι τῇ
not tenth nor hundredth blow will-be-able to-put-upon the
ἀγόνῳ φύσει γόνιμον φύσιν. Εἰ μὲν οὖν Θεοῦ τὸ ἔργον
barren nature fruitful nature if indeed then of-God the work
ἁπλῶς, καὶ ἄνευ μυστηρίου σταυροῦ, ἤρκει τὸ ἅπαξ,
simply and without mystery of-cross sufficed the once

ἤρκει καὶ νεῦμα, ἤρκει καὶ λόγος. Ἀλλ' ἵνα τὴν εἰκόνα
sufficed also nod sufficed also word but so-that the image
τοῦ σταυροῦ προτυπώσῃ, τοῦτο γίνεται. Ἐπάταξε, φησὶ,
of-the cross he-might-prefigure this happens struck he-says
Μωϋσῆς καὶ ἅπαξ καὶ δὶς, οὐ κατὰ τὸ αὐτὸ σχῆμα, ἀλλὰ
Moses both once and twice not according-to the same shape but
σταυροτύπως γράφων, ἵνα καὶ ἡ ἄψυχος φύσις αἰδεσθῇ
cross-wise drawing so-that also the lifeless nature might-reverence
τοῦ σταυροῦ τὸ σύμβολον. Εἰ γὰρ, βασιλέως ἀπόντος, εἰκὼν
of-the cross the symbol if for of-king being-absent image
ἀναπληροῖ χώραν βασιλέως, καὶ προσκυνοῦσιν ἄρχοντες,
fills place of-king and venerate rulers
καὶ ἱερομηνίαι ἐπιτελοῦνται, καὶ ἄρχοντες ὑπαντῶσι, καὶ
and holy-days are-celebrated and rulers meet and
δῆμοι προσκυνοῦσιν, οὐ πρὸς τὴν σανίδα βλέποντες, ἀλλὰ
peoples venerate not to the board looking but
πρὸς τὸν χαρακτῆρα τοῦ βασιλέως, οὐκ ἐν τῇ φύσει
to the portrait of-the king not in the nature
θεωρουμένου, ἀλλ' ἐν γραφῇ παραδεικνυμένου, πολλῷ
beheld but in painting displayed much
μᾶλλον ἀθανάτου Βασιλέως εἰκὼν δύναται οὐ πέτραν ῥῆξαι
more of-immortal King image can not rock break
μόνον, ἀλλὰ καὶ τὸν οὐρανὸν καὶ πᾶσαν τὴν οἰκουμένην.»
only but also the heaven and all the inhabited-world

Ἐκ τῆς Χρονογραφίας Ἰσιδώρου διακόνου.
from the Chronography of-Isidore deacon

«Ἥμαρτε Θεόφιλος λοιδορήσας Ἰωάννην τὸν Χρυσόστομον
sinned Theophilus having-slandered John the Chrysostom
πρὸς Εὐδοξίαν τὴν βασίλισσαν, ὅτι τὰ τῆς Ὠριγένους
to Eudoxia the empress that the(-tenets) of-the of-Origen
αἱρέσεως φρονεῖ· ἐχθραινουμένη ἡ Αὐγούστα πρὸς Ἰωάννην
heresy he-holds being-hostile the Augusta toward John

τὸν εἰρημένον, προφάσει τοῦ ἀμπελῶνος τῆς χήρας, καὶ
the said on-pretext of-the vineyard of-the widow and
διὰ τὴν ἁμαρτίαν ταύτην, οὐκ ἠδυνήθη ὁ Θεόφιλος
because-of the sin this not could — Theophilus
παραδοῦναι τὴν ψυχὴν, ἄχρις οὗ ἦλθεν ἡ εἰκὼν τοῦ
give-up the soul until — came the image of-the
Χρυσοστόμου, καὶ προσκυνήσας αὐτὴν, παρέδωκε τὸ
Chrysostom and having-venerated it he-gave-up the
πνεῦμα.»
spirit
Ἱερωνύμου πρεσβυτέρου Ἱεροσολύμων.
of-Jerome presbyter of-Jerusalem
«Τῆς γραφῆς ὑμῶν μηδαμοῦ ἐπιτρεπούσης ἡμῖν προσκυνεῖν
the scripture your nowhere permitting us to-venerate
τὸν σταυρὸν, τίνος χάριν λοιπὸν αὐτὸν προσκυνεῖτε; Εἴπατε
the cross for-what sake henceforth him do-you-venerate tell
ἡμῖν τοῖς Ἰουδαίοις καὶ Ἕλλησι, καὶ πᾶσι τοῖς ἐπερωτῶσιν
us the Jews and Greeks and all the asking
ὑμᾶς ἔθνεσι.» Ἀπόκρισις. «Διὰ τοῦτο, ὦ ἀνόητοι καὶ
you nations answer because-of this O senseless and
ἀναιδεῖς τῇ καρδίᾳ, τάχα συνεχώρησεν ὁ Θεὸς, παντὶ
shameless in-the heart perhaps allowed — God every
ἔθνει σεβομένῳ τὸν Θεὸν, πάντως προσκυνεῖν τι ἐπὶ
nation revering — God by-all-means to-venerate something on
τῆς γῆς, ἔργον ἀνθρώπου ὑπάρχον, ἵνα μηκέτι δύνωνται
the earth work of-man being so-that no-longer they-may-be-able
ἐγκαλεῖν τοῖς Χριστιανοῖς περὶ τοῦ σταυροῦ, καὶ τῆς τῶν
to-accuse the Christians about the cross and the of-the
εἰκόνων προσκυνήσεως. Ὥσπερ οὖν ὁ Ἰουδαῖος προσεκύνει
images veneration just-as then the Jew venerated
τὴν κιβωτὸν τῆς διαθήκης, καὶ τὰ δύο Χερουβὶμ τὰ
the ark of-the covenant and the two Cherubim the

χωνευτὰ καὶ χρυσᾶ, καὶ τὰς δύο πλάκας, ἃς ἐλάξευσε
cast and golden and the two tablets which hewed
Μωϋσῆς, μηδαμοῦ ἐπιτραπεὶς ὑπὸ τοῦ Θεοῦ ταῦτα
Moses nowhere having-been-permitted by — God these
προσκυνεῖν ἢ ἀσπάζεσθαι, οὕτω καὶ οἱ Χριστιανοὶ, οὐχ ὡς
to-venerate or to-greet so also the Christians not as
Θεὸν τὸν σταυρὸν ἀσπαζόμεθα, ἀλλὰ δεικνύντες τὴν τῆς
God the cross we-greet but showing the of-the
ψυχῆς ἡμῶν γνησίαν πρὸς τὸν σταυρωθέντα διάθεσιν.»
soul our genuine toward the crucified(-one) disposition
Τοῦ μεγάλου Συμεὼν τοῦ Θαυμαστοῦ ὄρους, Περὶ εἰκόνων.
of-the great Symeon of-the Wonderful mountain on images
«Ἴσως δέ τις τῶν ἀπίστων φιλόνεικος ὢν, ἀμφισβητήσει,
perhaps but someone of-the unbelievers contentious being will-dispute
λέγων, ὅτι καὶ ἡμεῖς ἐν ταῖς ἐκκλησίαις εἰκόνας
saying that also we in the churches images
προσκυνοῦντες, ὡς ἀψύχοις προσευχόμενοι εἰδώλοις
venerating as to-lifeless praying idols
λογισθησόμεθα. Μὴ οὖν γένοιτο ἡμᾶς τοῦτο ποιεῖν. Τὰ γὰρ
shall-be-reckoned not then may-it-be us this to-do the for
τῶν Χριστιανῶν πίστις ἐστι, καὶ ὁ ἀψευδὴς ἡμῶν Θεὸς
of-the Christians faith is and the unlying our God
ἐνεργεῖ τὰς δυνάμεις. Οὐ γὰρ χροϊδίοις, ἀλλὰ ἐν ὑπομνήσει
works the powers not for to-little-colors but in reminder
τοῦ ἀντιτύπου γράμματος, ὁρῶντες τὸν ἀόρατον διὰ τῆς
of-the antitype writing seeing the invisible through the
ὁρωμένης γραφῆς, ὡς παρόντα δοξάζομεν, οὐχ ὡς μὴ ὄντι
seen painting as present we-glorify not as not being
Θεῷ πιστεύοντες· ἀλλ' ὡς ὄντι ἀληθῶς, οὔτε τοῖς ἁγίοις,
God believing but as being truly nor the saints
ὡς μὴ οὖσιν, ἀλλ' ὡς οὖσι, καὶ ζῶσι παρὰ τῷ Θεῷ, καὶ
as not being but as being and living with — God and

τῶν πνευμάτων αὐτῶν, ἁγίων ὄντων καὶ δυνάμει Θεοῦ
of-the spirits their holy being and by-power of-God
βοηθούντων τοῖς ἀξίοις, ὡς δεομένοις αὐτῶν.»
helping the worthy as needing them
Ἀναστασίου ἀρχιεπισκόπου Ἀντιοχείας, πρὸς Συμεὼν
of-Anastasius archbishop of-Antioch to Symeon
ἐπίσκοπον Βόστρων, Περὶ τοῦ Σαββάτου.
bishop of-Bostra on the Sabbath
«Ὥσπερ γὰρ, ἀπόντος μὲν βασιλέως, ἡ εἰκὼν αὐτοῦ
just-as for being-absent indeed king the image his
προσκυνεῖται, παρόντος δὲ, λοιπὸν περιττὸν καταλιπόντα
is-venerated being-present but henceforth superfluous having-left-behind
τὸν πρωτότυπον προσκυνεῖν τῇ εἰκόνι· οὐ μὴν, ἐπεὶ
the prototype to-venerate the image not indeed since
οὐ προσκυνεῖται διὰ τὸ παρεῖναι τὸν, δι' ὃν
not it-is-venerated because-of the to-be-present the(-one) because-of whom
προσκυνεῖται, ἀτιμάζεσθαι αὐτὴν δεῖ· τοιοῦτόν τι νομίζω
it-is-venerated to-be-dishonored it must such something I-think
συμβῆναι περὶ τὴν τοῦ νόμου σκιὰν, ἤτοι τὸ γράμμα
to-have-happened about the of-the law shadow or the letter
(σκιὰν γὰρ αὐτὸν καλεῖ ὁ Ἀπόστολος). Ἐφ' ὅσον γὰρ
shadow for it calls the Apostle for as-long-as for
ἐταμιεύετο τὸν καιρὸν τῆς ἀληθείας ἡ χάρις, τοὺς τύπους
was-being-stored-up the time of-the truth the grace the types
προεῖπον οἱ ἅγιοι, θεωροῦντες ὡς ἐν ἐσόπτρῳ τὴν ἀλήθειαν.
foretold the saints beholding as in mirror the truth
Ἐλθούσης δὲ τῆς ἀληθείας, ζῆν μὲν κατὰ τοὺς τύπους οὐκ
having-come but the truth to-live indeed according-to the types not
ἐνόμιζον εἶναι καλὸν, καὶ τούτοις ἀκολουθεῖν ἔτι. Παρόντων
they-thought to-be good and these to-follow still being-present
γὰρ τῶν πραγμάτων, παρέλκει λοιπὸν ὁ τύπος τοῦ
for the realities is-superfluous henceforth the type of-the

πράγματος. Πλὴν καὶ οὕτως οὐκ ἠτίμαζον, οὐδὲ παρεῖλκον,
reality but even so not they-dishonored nor set-aside
ἀλλ' ἐτίμων τὸν τύπον, καὶ τοὺς ἀτιμάζειν ἐπιχειροῦντας,
but honored the type and those to-dishonor attempting
ἀσεβεῖς ἔκρινον, καὶ θανάτου διὰ κολάσεως πικρᾶς ἀξίους.»
impious judged and of-death through punishment bitter worthy

Τοῦ αὐτοῦ, Λόγου τρίτου.
of-the same Discourse third

«Ὥσπερ ἂν εἴ τις εἰκόνα βασιλέως, διὰ τὸ καθῆκον
just-as — if anyone image of-king because-of the fitting
τῆς περὶ τὸν βασιλέα προσκυνεῖ τιμῆς, οὐδὲν οὖσαν, ἢ
of-the toward the king venerates honor nothing being than
κηρὸν καὶ χρώματα.»
wax and colors

Τῆς ἁγίας καὶ οἰκουμενικῆς πέμπτης συνόδου, ἀναθεματισμὸς
of-the holy and ecumenical fifth synod anathema
ιβ'.
12

«Εἴ τις ἀντιποιεῖται Θεοδώρου τοῦ ἀσεβοῦς τῆς
if anyone defends Theodore the impious —
Μοψουστείας τοῦ εἰπόντος, ἄλλον εἶναι τὸν Θεὸν Λόγον,
of-Mopsuestia the(-one) having-said other to-be — God Word
καὶ ἄλλον τὸν Χριστὸν, ὑπὸ παθῶν ψυχικῶν καὶ τῶν
and other — Christ by passions of-soul and by-the
τῆς σαρκὸς ἐπιθυμιῶν ἐνοχλούμενον, καὶ τῶν χειρόνων
of-the flesh desires being-troubled and from-the worse
κατὰ μικρὸν χωριζόμενον, καὶ οὕτως ἐκ προκοπῆς ἔργων
by little being-separated and thus from progress of-works
βελτιωθέντα, καὶ ἐκ πολιτείας ἀμώμου καταστάντα, ὡς
improved and from conduct blameless established as
ψιλὸν ἄνθρωπον βαπτισθῆναι, εἰς ὄνομα τοῦ Πατρὸς, καὶ
mere man to-have-been-baptized into name of-the Father and

Υἱοῦ, καὶ ἁγίου Πνεύματος, καὶ διὰ τοῦ βαπτίσματος
Son and holy Spirit and through the baptism
τὴν χάριν τοῦ ἁγίου Πνεύματος λαβόντα, καὶ υἱοθεσίας
the grace of-the holy Spirit having-received and of-adoption
ἀξιωθῆναι, καὶ κατὰ ἰσότητα βασιλικῆς εἰκόνος, εἰς
to-have-been-deemed-worthy and by equality of-royal image into
πρόσωπον τοῦ Θεοῦ Λόγου προσκυνεῖσθαι, ἀνάθεμα ἔστω.»
person — of-God Word to-be-venerated anathema let-him-be
Θεοδώρου ἱστοριογράφου Κωνσταντινουπόλεως, ἐκ τῆς
of-Theodore historian of-Constantinople from the
ἐκκλησιαστικῆς Ἱστορίας, περὶ Γενναδίου ἀρχιεπισκόπου
ecclesiastical History about Gennadius archbishop
Κωνσταντινουπόλεως.
of-Constantinople
«Ἕτερα δὲ αὐτοῦ παραθήσομαι, καταπλήξεως μεστά·
other but of-him I-will-set-beside of-astonishment full
ζωγράφος τις, τὴν εἰκόνα τοῦ Δεσπότου Χριστοῦ
painter a-certain the image of-the Master Christ
γράφων, τὼ χεῖρε ἀπέψυκτο. Καὶ ἐλέγετο ὡς ὑπὸ
painting the two-hands had-withered and it-was-said that by
Ἕλληνός τινος τὸ ἔργον ἐπιταγὲν τῆς εἰκόνος, ἐν τῷ
pagan a-certain the work commissioned of-the image under the
προσχήματι τοῦ ὀνόματος τοῦ Σωτῆρος, γεγράφηκεν, ἐξ
pretext of-the name of-the Savior he-had-painted on
ἑκατέρου τὰς τρίχας ἐπὶ κεφαλῆς διεστώσας ὡς μὴ τὰς
each-side the hairs on head parted so-as not the
ὄψεις καλύπτεσθαι. Τοιούτῳ γὰρ σχήματι Ἑλλήνων παῖδες
faces to-be-covered in-such for shape of-pagans children
τὸν Δία γράφουσι, πρὸς τὸ τοὺς ὁρῶντας νομίζειν, τῷ
— Zeus paint for the those seeing to-think to-the
Σωτῆρι τὴν προσκύνησιν ἀπονέμεσθαι.»
Savior the veneration to-be-rendered

Τοῦ ἀββᾶ Μαξίμου, καὶ Θεοδοσίου ἐπισκόπου, καὶ τῶν
of-the abba Maximus and of-Theodosius bishop and of-the
ἀρχόντων, τῶν ἀποσταλέντων παρὰ τοῦ βασιλέως.
rulers the(-ones) sent by the emperor
«Ὁ ὅσιος Μάξιμος εἶπεν· «Ἐπὰν δὲ ἔδοξε ταῦτα
the holy Maximus said when but seemed-good these-things
γενέσθαι, ἔκβασις γένοιτο τῶν δοξάντων, καὶ ὅπου
to-come-about outcome may-there-be of-the(-things) resolved and where
κελεύετε, ἀκολουθῶ ἡμῖν.» Καὶ ἐπὶ τούτοις ἀνέστησαν
you-order I-follow us and upon these-things stood-up
πάντες, καὶ μετὰ δακρύων ἔβαλον μετάνοιαν, καὶ εὐχὴ
all and with tears cast prostration and prayer
γέγονε· καὶ ἕκαστος αὐτῶν τὰ ἅγια Εὐαγγέλια, καὶ
took-place and each of-them the holy Gospels and
τὸν τίμιον σταυρὸν, καὶ τὴν εἰκόνα τοῦ Σωτῆρος ἡμῶν
the precious cross and the image of-the Savior our
Ἰησοῦ Χριστοῦ, καὶ τῆς τεκούσης αὐτὸν ἁγίας Θεοτόκου,
Jesus Christ and of-the having-borne him holy God-bearer
ἠσπάσαντο, τεθεικότες καὶ τὰς χεῖρας ἐπὶ βεβαιώσει
kissed having-placed also the hands for confirmation
τῶν λαληθέντων.»
of-the(-things) spoken
Τοῦ ἁγίου Σωφρονίου, ἐκ τῶν θαυμάτων τῶν ἁγίων
of-the holy Sophronius from the miracles of-the holy
μαρτύρων Κύρου καὶ Ἰωάννου, εἰς Θεόδωρον τὸν
martyrs Cyrus and John on Theodore the
ὑποδιάκονον ποδαγριοῦντα.
subdeacon suffering-from-gout
«Λέξωμεν δὲ λοιπὸν καὶ τὴν ῥῶσιν τοῦ σώματος, δι'
let-us-tell but henceforth also the strengthening of-the body in
ὀλίγων τὸν λόγον ποιούμενοι. Μετ' ὀλίγας δὲ ταύτας
few the account making after few but these

τὰς ἡμέρας ἐκάθευδε, καὶ πάλιν παρεστῶτας βλέπει τοὺς
the days he-was-sleeping and again standing-by he-sees the
μάρτυρας, καὶ συνοδεύειν αὐτοῖς ἐπιτάττοντας. Ὁ δὲ σφίσι
martyrs and to-journey-with them ordering he but them
προθυμότερον εἵπετο. Ἤδει γὰρ οὐκ ἀκερδὲς τὸ τοῖς ἁγίοις
more-eagerly followed he-knew for not unprofitable the with-the saints
συνέπεσθαι. Ἐλθόντες οὖν εἰς ναὸν Ἑλλήνων, τῷ μὲν
to-follow having-come then into temple of-pagans in-the indeed
εἴδει φοβερὸν καὶ ὑπέρλαμπρον, τῷ δὲ ὕψει τῶν οὐρανῶν
form fearful and very-bright in-the but height the heavens
αὐτῶν ἐφαπτόμενον· καὶ εἴσω τούτου γενόμενοι, μεγίστην
themselves touching and within this having-come very-great
εἰκόνα καὶ θαυμασίαν ἐβλέπομεν, μέσον δὲ, τὸν Δεσπότην
image and marvelous we-saw in-the-middle but the Master
Χριστὸν γεγραμμένον χρώμασιν ἔχουσαν, τὴν Δέσποιναν
Christ painted in-colors having the Lady
Θεοτόκον εὐώνυμον, καὶ δεξιὸν, Ἰωάννην τὸν Βαπτιστὴν,
God-bearer on-the-left and on-the-right John the Baptist
τὸν ἐκ κοιλίας σκιρτήμασιν αὐτὸν προμηνύσαντα,
the(-one) from womb with-leaps him having-foretold
ἐπεὶ, καὶ λαλῶν ἔνδον ὢν, οὐκ ἠκούετο· καί τινας τοῦ
since also speaking within being not he-was-heard and some of-the
τῶν ἀποστόλων καὶ προφητῶν ἐνδόξου χοροῦ, καὶ τῆς
of-the apostles and prophets glorious choir and of-the
μαρτυρικῆς ὁμηγύρεως, μεθ' ὧν ἐτύγχανε Κῦρος καὶ
martyr assembly with whom happened-to-be Cyrus and
Ἰωάννης οἱ μάρτυρες, οἱ πρὸ τῆς εἰκόνος ἱστάμενοι, τῷ
John the martyrs the(-ones) before the image standing to-the
Δεσπότῃ προσέπιπτον, γόνατα κάμπτοντες, καὶ τὰς κεφαλὰς
Master fell-before knees bending and the heads
εἰς ἔδαφος τύπτοντες, καὶ περὶ τῆς τοῦ νέου θεραπείας
to ground striking and about the of-the young-man healing

πρεσβεύοντες. Ταῦτα δὲ ἦν τὰ τῆς πρεσβείας ῥήματα·
interceding these but were the of-the intercession words
«Δέσποτα φιλάνθρωπε, κελεύεις δῶμεν καὶ τούτῳ τὴν
Master loving-to-men do-you-order let-us-give also to-this-man the
ἴασιν·» Οἱ δὲ, πολλάκις εἰς γῆν προσκυνήσαντες, καὶ τοὺς
healing they but often to earth having-venerated and the
τῆς ἱκεσίας λόγους ἐκπέμψαντες, ὡς ὁ Δεσπότης Χριστὸς
of-the supplication words having-sent-forth when the Master Christ
οὐκ ἐπένευσε, τοῦ πρεσβεύειν παυσάμενοι, κατηφεῖς καὶ
not nodded from-the interceding having-ceased downcast and
ὀλίγωροι, πρὸς ἐμὲ, φησὶ, παραγίνονται, οὐ μακρὰν πολὺ
dispirited to me he-says come not far much
τῆς εἰκόνος ἱστάμενον. Καὶ πλησίον γενόμενοι, «Ὁρᾷς,
from-the image standing and near having-come you-see
φησὶ, πῶς ὁ Δεσπότης οὐ βούλεταί σοι δοῦναι τὴν ἴασιν;
he-says how the Master not wills you to-give the healing
ἀλλὰ μηδὲν ἀθυμήσῃς. Πάντως γὰρ καὶ πρὸς σὲ ὡς πρὸς
but nothing lose-heart surely for also toward you as toward
πάντας χρηστεύεται.» Καὶ διαναστάντες ὡσεὶ μικρὸν
all he-is-kind and having-stood-up as-it-were little
ἡμιώριον, καὶ πάλιν ἀπελθόντες, ἐδέοντο. Καὶ πάλιν
half-hour and again having-gone they-begged and again
ἄπρακτοι, φησὶν, ἀνακάμπτουσι κατηφεῖς καὶ ὀλίγωροι,
unsuccessful he-says they-return downcast and dispirited
ὡς τὸ πρότερον τοῦ Δεσπότου Χριστοῦ μὴ κελεύσαντος.
as the before the Master Christ not having-ordered
Καὶ ταῦτά μοι πάλιν ἐλθόντες εἰρήκασιν. Τὸ τρίτον δὲ
and these-things to-me again having-come they-said the third-time but
πορευόμενοι· «Θάῤῥει, λέγουσιν· νῦν γὰρ τὴν χάριν πάντως
going take-courage they-say now for the grace surely
λαμβάνομεν· ἀλλὰ καὶ σὺ, ὥσπερ ἡμᾶς ὁρᾷς ἱκετεύοντας,
we-receive but also you as us you-see supplicating

σὺν ἡμῖν ἐλθὼν, τὸν Δεσπότην ἱκέτευε.» Καὶ πρὸς
with us having-come the Master supplicate and toward
τὴν εἰκόνα τὸ τρίτον γενόμενοι τοῖς προλαβοῦσι τρόποις
the image the third-time having-come the previous ways
ἐχρῶντο καὶ ῥήμασι. Καὶ ὡς ὥραν πολλὴν ἐδεήθησαν, καὶ
they-used and words and when hour long they-begged and
κάτω κείμενοι, τὸ, «Κελεύεις, Δέσποτα.» μόνον ἀνέκραζον,
below lying the do-you-order Master only they-cried-out
τότε ὁ Χριστὸς σπλαγχνισθεὶς, ὡς οἰκτίρμων, «Καὶ δότε
then — Christ having-had-compassion as compassionate and give
αὐτῷ,» πρὸς τῆς εἰκόνος ἀπεφθέγξατο. Καὶ χαμόθεν
him from the image uttered and from-the-ground
ἀναστάντες οἱ μάρτυρες, πρῶτον μὲν ηὐχαρίστουν Χριστῷ
having-stood-up the martyrs first indeed gave-thanks to-Christ
τῷ Θεῷ ἡμῶν, ὡς τῆς δεήσεως αὐτῶν ἐπακούσαντι.»
— to-God our as of-the petition their having-heard

Anastasius of Sinai: seeing Christ's portrait, the faithful think him gazing at them from heaven. Abba Daniel begs the God-bearer's image to free him from his surety for Eulogius, Mary of Egypt takes it as her surety, and a girl chooses Christ before his portrait. The sixth council orders Christ shown in human form, and Methodius notes that kings' images are honored in plaster or bronze.

Τοῦ ἁγίου Ἀναστασίου τοῦ ἁγίου ὄρους Σινᾶ, εἰς τὴν
of-the holy Anastasius of-the holy mountain Sinai on the
καινὴν Κυριακὴν, καὶ εἰς τὸν ἀπόστολον Θωμᾶν.
new Sunday and on the apostle Thomas
«Οἱ ἑωρακότες Χριστὸν ἐν σαρκὶ, ὡς προφήτην
those having-seen Christ in flesh as prophet
αὐτὸν εἶχον· οἱ μὴ ἑωρακότες ἡμεῖς, εὐθέως, ἐξ
him held those not having-seen we at-once from
ἁπαλῶν ὀνύχων, παῖδες, καὶ νεανίσκοι, Θεὸν αὐτὸν,
tender nails children and young-men God him
ἐξουσιαστὴν, καὶ παντοκράτορα, καὶ τῶν αἰώνων
sovereign and almighty and of-the ages
ποιητὴν, ἀπαύγασμα τοῦ Πατρὸς ὁμολογοῦμεν. Ὡς
maker radiance of-the Father confess as
γὰρ αὐτὸν ἐκεῖνον βλέποντες Χριστὸν λαλοῦντα,
for him himself seeing Christ speaking
οὕτως τῶν αὐτοῦ Εὐαγγελίων μετὰ πίστεως ἀκούομεν·
so the his Gospels with faith we-hear
καὶ τὸν ἄχραντον μαργαρίτην τοῦ αὐτοῦ σώματος
and the undefiled pearl of-the his body
δεχόμενοι, αὐτὸν ἐκεῖνον βαστάζειν τὸν Χριστὸν νομίζομεν.
receiving him himself to-carry — Christ we-think
Κἂν μόνον αὐτοῦ θεῖον χαρακτῆρα ἐξεικονισμένον
even-if only his divine portrait depicted

ἴδωμεν, ὡς ἐξ οὐρανοῦ ἡμῖν ἀτενίζοντα νομίζομεν,
we-see as from heaven at-us gazing we-think
προσκυνοῦμεν, προσπίπτομεν. Μεγάλη νῦν ἡ πίστις τοῦ
we-venerate we-fall-down great now the faith —
Χριστοῦ.»
of-Christ

Ἐκ τοῦ βίου τοῦ ἀββᾶ Δανιὴλ, Περὶ Εὐλογίου τοῦ λατόμου.
from the life of-the abba Daniel about Eulogius the stonecutter

«Τότε ὀλιγωρήσας ἀπῆλθε, καὶ ῥίψας ἑαυτὸν
then having-lost-heart he-went-away and having-thrown himself
ἔμπροσθεν τῆς εἰκόνος τῆς Θεοτόκου, μετὰ κλαυθμοῦ
before the image of-the God-bearer with weeping
ἔλεγε· Κύριε, λύσον τὴν ἐγγύην τοῦ ἀνθρώπου τούτου
said Lord loose the surety of-the man this
ἀπ᾽ ἐμοῦ.»
from me

Ἐκ τοῦ βίου Μαρίας τῆς Αἰγυπτίας.
from the life of-Mary the Egyptian

«Κλαίουσα τοίνυν, ὁρῶ ἐπάνω τοῦ τόπου ἐν ᾧ ἱστάμην,
weeping then I-see above the place in which I-was-standing
τὴν εἰκόνα τῆς ἁγίας Θεοτόκου ἑστῶσαν, καί φημι πρὸς
the image of-the holy God-bearer standing and I-say to
αὐτήν· «Παρθένε, Θεοτόκε Δέσποινα, ἡ τὸν Θεὸν
her Virgin God-bearer Lady the(-one) — God
Λόγον κατὰ σάρκα γεννήσασα, οἶδα μὲν, οἶδα, ὡς οὐκ
Word according-to flesh having-borne I-know indeed I-know that not
ἔστιν εὐπρεπὲς, οὐδὲ εὔλογον, τὴν οὕτω ῥυπαρὰν,
is seemly nor reasonable the(-woman) so filthy
τὴν οὕτω πανάσωτον, τὴν εἰκόνα καθορᾷν σου,
the(-woman) so all-profligate the image to-look-at your
τῆς Ἀειπαρθένου, ἀλλὰ δίκαιόν ἐστιν, ἐμὲ ὑπὸ τῆς σῆς
the Ever-virgin but just it-is me by the your

καθαρότητος μισεῖσθαι καὶ βδελύττεσθαι. Πλὴν ἐπείπερ
purity to-be-hated and to-be-loathed but since
διὰ τοῦτο γέγονεν ὁ ἐκ σοῦ τεχθεὶς Θεὸς, ἄνθρωπος,
because-of this became the from you born God man
ὅπως καλέσῃ τοὺς ἁμαρτωλοὺς εἰς μετάνοιαν, βοήθησόν
so-that he-might-call the sinners to repentance help
μοι, τῇ μόνῃ μὴ ἐχούσῃ τινὰ βοήθειαν. Ἐπίταξον κἀμοὶ
me the alone not having any help order for-me-too
συγχωρηθῆναι τὴν εἴσοδον· μὴ στερήσῃς με τὸ ξύλον
to-be-granted the entrance not deprive me the wood
ἰδεῖν, ἐν ᾧ κατὰ σάρκα προσεπάγη ὁ Θεὸς Λόγος,
to-see on which according-to flesh was-nailed — God Word
ὃν ἐγέννησας· ὃς τὸ αἷμα τὸ ἴδιον ὑπὲρ ἐμοῦ ἔδωκεν
whom you-bore who the blood the own for me gave
ἀντίλυτρον. Ἐπίταξον, ὦ Δέσποινα, κἀμοὶ τὴν θύραν
as-ransom order O Lady for-me-too the door
ἀνοιχθῆναι τῆς θείας τοῦ σταυροῦ προσκυνήσεως. Καί σε
to-be-opened of-the divine of-the cross veneration and you
δίδωμι τῷ ἐκ σοῦ τεχθέντι Θεῷ ἐγγυητὴν ἀξιόχρεων,
I-give to-the from you born God as-surety trustworthy
ὡς οὐκέτι τὴν σάρκα ταύτην ἐξυβρίσω δι᾽ αἰσχρᾶς
that no-longer the flesh this I-will-outrage through shameful
οἱασδήποτε μίξεως. Ἀλλ᾽ ἡνίκα τὸ ξύλον τοῦ σταυροῦ
whatever mingling but when the wood of-the cross
τοῦ Υἱοῦ σου θεάσωμαι, κόσμῳ καὶ τοῖς ἐν κόσμῳ
of-the Son your I-behold to-world and to-the(-things) in world
πᾶσιν εὐθέως ἀποτάσσομαι, καὶ αὐτίκα ἐξέρχομαι, ὅπου
all at-once I-renounce and immediately I-go-out wherever
ἂν αὐτὴ ὡς ἐγγυητὴς ὑπόθῃ, καὶ ὁδηγήσῃς με.» Ταῦτα
— you as surety may-suggest and may-guide me these-things
εἰποῦσα, καὶ ὥσπερ τινὰ πληροφορίαν λαβοῦσα τὸ
having-said and as some assurance having-received the

τῆς πίστεως ἔμπυρον, τῇ εὐσπλαγχνίᾳ τῆς Θεοτόκου
of-the faith fiery in-the compassion of-the God-bearer
θαῤῥήσασα, κινῶ ἐμαυτὴν ἐξ ἐκείνου τοῦ τόπου, ἐν ᾧ
having-taken-courage I-move myself from that the place in which
ἑστῶσα ἐποιούμην τὴν δέησιν, καὶ ἔρχομαι πάλιν, καὶ
standing I-was-making the petition and I-come again and
τοῖς εἰσιοῦσιν ἐμαυτὴν ἐγκατέμιξα. Καὶ οὐκέτι ἦν ὁ
with-those entering myself I-mingled and no-longer was the(-one)
ὠθῶν με, καὶ ἀντωθούμενος, καὶ οὐδεὶς ὁ κωλύων
pushing me and pushing-back and no-one the(-one) preventing
τοῦ πλησίον γενέσθαι με τῆς θύρας, δι᾽ ἧς εἰς τὸν
for-the near to-come me of-the door through which into the
οἶκον εἰσῄεσαν. Ἔλαβεν οὖν με φρίκη καὶ ἔκστασις καὶ
house they-entered seized then me shuddering and amazement and
ὅλη δι᾽ ὅλου ἐκλονούμην, καὶ ἔτρεμον. Ῥίψασα τοίνυν
whole through whole I-was-shaken and trembled having-thrown then
ἐμαυτὴν ἐπὶ τῆς γῆς, καὶ τὸ ἅγιον ἐκεῖνο προσκυνήσασα
myself on the earth and the holy that having-venerated
ἔδαφος, ἔτρεχον ἐξιοῦσα, καὶ πρὸς τὴν ἐγγυησαμένην
ground I-ran going-out and toward the(-one) having-stood-surety
γενέσθαι σπουδάζουσα. Γίνομαι τοίνυν ἐν ἐκείνῳ τῷ
to-be hastening I-come then in that the
τόπῳ, ἐν ᾧ τῆς ἐγγύης ἐπεγράφη χειρόγραφον, καὶ
place in which of-the surety was-written bond and
γόνυ κλίνασα ἔμπροσθεν τῆς Ἀειπαρθένου καὶ Θεοτόκου,
knee having-bent before the Ever-virgin and God-bearer
τούτοις ἐχρησάμην τοῖς ῥήμασιν· «Σὺ μὲν, φιλάγαθε
these I-used the words you indeed good-loving
Δέσποινα, τὸ σὸν ἐπ᾽ ἐμοὶ ἐνεδείξω φιλάνθρωπον, σὺ
Lady the your toward me showed love-for-men you
τῆς ἀναξίας οὐκ ἐβδελύξω τὴν δέησιν. Εἶδον δόξαν,
of-the unworthy(-woman) not loathed the petition I-saw glory

ἣν δικαίως οὐχ ὁρῶμεν οἱ ἄσωτοι· δόξα τῷ Θεῷ, τῷ
which justly not we-see the profligate glory — to-God the(-one)
διὰ σοῦ δεχομένῳ τῶν ἁμαρτωλῶν τὴν μετάνοιαν·» καὶ
through you receiving of-the sinners the repentance and
τὰ ἑξῆς.
the rest

Ἐκ τοῦ βίου τῆς ἁγίας Εὐπραξίας.
from the life of-the holy Eupraxia

«Λέγει ἡ διάκονος τῷ κορασίῳ· «Ὕπαγε, κυρία μου,
says the deaconess to-the girl go lady my
εἰς τὸν οἰκόν σου, ὅτι οὐ δύνασαι ὧδε παραμεῖναι.
into the house your for not you-can here to-remain
Οὐδὲ γὰρ δύναταί τις ὧδε παραμεῖναι, ἐὰν μὴ
not-even for can anyone here to-remain unless —
συντάξηται τῷ Χριστῷ.» Λέγει αὐτῇ τὸ κοράσιον·
she-should-pledge-herself — to-Christ says to-her the girl
«Ποῦ ἐστιν ὁ Χριστός;» Ἡ διάκονος ἐπέδειξεν αὐτῇ
where is — Christ the deaconess showed her
τὸν Δεσποτικὸν χαρακτῆρα, καὶ στραφεῖσα, λέγει τῇ
the of-the-Lord portrait and having-turned she-says to-the
διακόνῳ· «Ἀληθῶς κἀγὼ τῷ Χριστῷ συντάσσομαι, καὶ
deaconess truly I-too — to-Christ pledge-myself and
οὐκέτι ἀπέρχομαι μετὰ τῆς κυρίας μου.» Καὶ πάλιν
no-longer go-away with the lady my and again
ἀναστᾶσα ἡ Εὐπραξία, καὶ λαβοῦσα τὴν θυγατέρα
having-arisen — Eupraxia and having-taken the daughter
ἑαυτῆς, παρέστησεν εἰς τὸν Δεσποτικὸν χαρακτῆρα, καὶ
her-own presented to the of-the-Lord portrait and
ἐκτείνασα τὰς χεῖρας αὐτῆς εἰς τὸν οὐρανὸν, ἐβόησε
having-stretched-out the hands her to the heaven cried
μετὰ κλαυθμοῦ· «Κύριε Ἰησοῦ Χριστὲ, σοὶ μελήσει
with weeping Lord Jesus Christ to-you will-be-a-care

περὶ τοῦ παιδίου, ὅτι σὲ ἐπόθησεν, καὶ σοὶ παρέθετο
about the child for you she-longed-for and to-you entrusted
ἑαυτήν.»
herself
Τῆς ἁγίας ἕκτης συνόδου τῆς ἐπὶ Ἰουστινιανοῦ, περὶ
of-the holy sixth synod the(-one) under Justinian about
τῆς ἁγίας πέμπτης συνόδου.
the holy fifth synod
«Ἔν τισι τῶν σεπτῶν εἰκόνων γραφαῖς Ἀμνὸς δακτύλῳ
in some of-the august images paintings Lamb by-finger
τοῦ προδρόμου δεικνύμενος ἐγχαράττεται, ὃς εἰς τύπον
of-the forerunner being-pointed-out is-engraved who as type
παρελήφθη τῆς χάριτος, τὸν ἀληθινὸν ἡμῖν διὰ νόμου
was-taken of-the grace the true to-us through law
προϋποφαῖνον Ἀμνὸν, Χριστὸν τὸν Θεὸν ἡμῶν. Τοὺς οὖν
foreshadowing Lamb Christ — God our the then
παλαιοὺς τύπους καὶ τὰς σκιὰς, ὡς τῆς ἀληθείας σύμβολά
old types and the shadows as of-the truth symbols
τε καὶ προχαράγματα, τῇ Ἐκκλησίᾳ παραδεδομένους
both and outlines to-the Church handed-down
κατασπαζόμενοι, τὴν χάριν προτιμῶμεν, καὶ τὴν ἀλήθειαν,
kissing the grace we-prefer and the truth
ὡς πλήρωμα νόμου ταύτην ὑποδεχόμενοι. Ὡς ἂν οὖν
as fulfillment of-law this receiving so-that — then
τὸ τέλειον κἂν ταῖς χρωματουργίαις ἐν ταῖς ἁπάντων
the perfect even-in the color-paintings in the of-all
ὄψεσιν ὑπογράφωμεν, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ
eyes we-may-depict the taking-away the sin of-the
κόσμου Ἀμνὸν, Χριστὸν τὸν Θεὸν ἡμῶν, κατὰ τὸν
world Lamb Christ — God our according-to the
ἀνθρώπινον χαρακτῆρα ἐν ταῖς εἰκόσιν ἀπὸ τοῦ νῦν,
human imprint in the images from the now

ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ ἀναστηλοῦσθαι ὁρίζομεν,
instead-of the old lamb to-be-set-up we-decree
διὰ τῆς ταπεινώσεως τὸ ὕψος τοῦ Θεοῦ Λόγου
through the humiliation the height — of-God Word
κατανοοῦντες, καὶ πρὸς μνήμην τῆς ἐν σαρκὶ πολιτείας
perceiving and toward memory of-the in flesh conduct
καὶ τοῦ πάθους αὐτοῦ, καὶ τοῦ σωτηρίου θανάτου
and of-the suffering his and of-the saving death
χειραγωγούμενοι, καὶ τῆς ἐντεῦθεν γενομένης τῷ κόσμῳ
being-led-by-hand and of-the thence having-come-about to-the world
ἀπολυτρώσεως.»
redemption

Τοῦ ἁγίου Μεθοδίου ἐπισκόπου Πατάρων, περὶ ἀναστάσεως,
of-the holy Methodius bishop of-Patara on resurrection
λόγῳ β΄.
in-discourse 2

«Αὐτίκα οὖν τῶν τῆδε βασιλέων αἱ εἰκόνες, κἂν μὴ
for-instance then of-the here kings the images even-if not
ἀπὸ τῆς πολὺ τιμιωτέρας χρυσοῦ τε καὶ ἀργύρου
from the much more-precious gold both and silver
ὦσι κατεσκευασμέναι, τιμὴν ἔχουσι πρὸς ἁπάντων.
they-be fashioned honor have from all
Οὐ γὰρ τὰς μὲν ἀπὸ τῆς πολὺ τιμιωτέρας ὕλης
not for the(-ones) indeed from the much more-precious material
θεραπεύοντες οἱ ἄνθρωποι, ἐξολιγωροῦσιν τῶν ἐξ
serving the men disregard the(-ones) from
ἀτίμων τιμιωτέρας, ἀλλὰ πᾶσαν ἐπίσης τιμῶσιν, εἰ καὶ
less-honored more-precious but all equally they-honor if even
ἀπὸ γύψου ἢ χαλκοῦ ὑπάρχουσι. Καὶ ὁ δυσφημήσας
from plaster or bronze they-be and the(-one) having-blasphemed
εἰς ὁποτέραν, οὔτε ὡς εἰς πηλὸν ἀφίεται, οὔτε
against either neither as against clay is-let-off nor

ὡς χρυσὸν ἐξευτελίσας, κρίνεται, ἀλλ᾽ ὡς εἰς αὐτὸν
as gold having-disparaged is-judged but as against himself
ἀσεβήσας τὸν βασιλέα καὶ κύριον. Τὰς μὲν ἀπὸ
having-been-impious the king and lord the indeed from
χρυσοῦ κατεσκευασμένας εἰκόνας τῶν αὐτοῦ ἀγγέλων τὰς
gold fashioned images of-the his angels the
Ἀρχὰς καὶ τὰς Ἐξουσίας, εἰς τιμὴν καὶ δόξαν αὐτοῦ
Principalities and the Powers for honor and glory his
ποιοῦμεν.»
we-make

THEODORE THE STUDITE

ΑΝΤΙΡΡΗΤΙΚΟΣ ΚΑΤΑ ΕΙΚΟΝΟΜΑΧΩΝ

The Refutations of the Iconoclasts

Theodore takes up the iconoclasts' arguments one by one. One God is worshiped in Trinity, but the Word, made man, is circumscribed in body while uncircumscribed in godhead: he was swaddled, seen, touched, crucified, and put to death. To call him uncircumscribable denies that the Word became flesh. The law forbade likenesses before grace, to a people guarded from idols, yet ordered the Cherubim and the bronze serpent. An image does not belittle Christ, for idol and image differ as darkness and light, and what is said of Christ holds for his image.

Καιρὸς τοῦ λαλεῖν, ἀλλ᾽ οὐ τοῦ σιγᾷν ἐστι τῷ
time for-the speaking but not for-the being-silent it-is for-the(-one)
ὁπωσοῦν δυναμένῳ· ἐπειδάν τις αἵρεσις ἐνίσταται,
in-any-way able whenever some heresy sets-in
καθυλακτοῦσα τῆς ἀληθείας, καὶ πτόησιν ταῖς ἀστηρίκτοις
barking-against the truth and terror in-the unstable
ψυχαῖς ἐνιζάνουσα διὰ τῆς κενοφωνίας. Δύο γὰρ ταῦτα
souls settling through the empty-talk two for these-things
δράσειέ πως ὁ λέγων· τόν τε οἰκεῖον νοῦν
would-accomplish somehow the(-one) speaking the both own mind
ἐρείδοι εὖ μάλα, τὰς συστατικὰς ἀποδείξεις περὶ τῆς
he-would-support well very the establishing proofs about the
προκειμένης ὑποθέσεως ἀνελιττόμενος καὶ συμφορίζων· τοῖς
proposed subject unrolling and drawing-conclusions to-the
τε ἄλλοις μεταδοίη τῶν πορισμάτων, εἴπερ τινὲς ἄρα τὰς
and others would-impart of-the gains if-indeed some then the
ἀκοὰς ὑποθοῖντο. Τοιγαροῦν κἀγὼ ὁ πενιχρὸς ἀμφοτέρωθεν,
ears should-submit accordingly I-too the poor(-one) on-both-sides
ταῖς πατρικαῖς εὐχαῖς τε καὶ παρορμήσεσι θαῤῥήσας,
by-the fatherly prayers both and exhortations having-taken-courage
τὴν ἐμαυτοῦ ὑπόληψιν ὡς οἷόν τέ ἐστιν, ἐπιδεῖξαι
the my-own opinion as possible — it-is to-show

πειράσομαι. Κρεῖσσον γὰρ, φησὶ, τὸ κατὰ δύναμιν
I-will-try better for he-says the according-to ability
εἰσενεγκεῖν, ἢ τὸ πᾶν ἐλλιπεῖν, ἡ θεολόγος γλῶττα·
to-contribute than the whole to-fall-short the theologian tongue
ἄλλως τε καὶ διὰ τὸ μὴ ἀποχρώντως ἐν τῷ πονηθέντι
otherwise both and because-of the not sufficiently in the labored-over
μοι Στηλιτευτικῷ ταύτην ἐπεξιέναι. Ἤδη δὲ προβληθήσεται
by-me Invective this to-go-through now but will-be-put-forth
ὁ λόγος κατὰ ἀντίθεσιν τοῦ τε οἰκείου δόγματος, καὶ
the discourse by contrast of-the both own doctrine and
τοῦ ἀλλοτρίου· ὡς ἂν διὰ τῆς παραθέσεως καθάπερ
of-the alien so-that — through the juxtaposition as
ἐπὶ ἐκλογῆς τινος, ἀπὸ τοῦ δοκίμου καὶ ἀκιβδήλου
in-the-case-of selection some from the approved and unalloyed
τῆς ἀληθείας χαρακτῆρος, ὁ παρακεχαραγμένος καὶ
of-the truth stamp the counterfeit and
δεδολιευμένος τῆς ἀσεβείας τύπος ἐκρίπτοιτο. Ἀλλὰ Κύριος
adulterated of-the impiety stamp might-be-cast-out but Lord
δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. Εἴπερ
will-give word to-those preaching-the-gospel with-power much if-indeed
θέμις κἀμοὶ τῷ ἀναξίῳ φράζειν ἀρχομένῳ τοῦ λόγου.
lawful for-me-too the unworthy(-one) to-speak beginning the discourse
1 Μία τοίνυν ἡμῶν τῶν Χριστιανῶν, ὦ οὗτοι, πίστις καὶ
one then our of-the Christians O you faith and
λατρεία καὶ προσκύνησις· ἡ εἰς Πατέρα τε, φημὶ, καὶ
worship and veneration the(-one) to Father both I-say and
Υἱὸν καὶ ἅγιον Πνεῦμα· ὅτι καὶ ἓν τὸ προσκυνούμενον
Son and holy Spirit because also one the venerated
τῇ φύσει τῆς θεότητος, κἂν τρία τὰ νοούμενα ταῖς
by-the nature of-the godhead even-if three the conceived by-the
ὑποστατικαῖς ἰδιότησιν, ὡς κατὰ συνέπειαν.
hypostatic properties as by consequence

Οὐ μία γοῦν, εἴπερ τὸ σέβας ἡμῶν πολυπροσκύνητον διὰ 2
not one at-any-rate if-indeed the reverence our much-venerated through
τῆς εἰκονικῆς ἀναστηλώσεως ἀποδέδεικται, μεταληφθείσης
the image-making setting-up has-been-shown having-been-transferred
πως κακοτεχνίᾳ δαίμονος ἀπὸ τῆς Ἑλληνικῆς παραδόσεως
somehow by-artifice of-demon from the pagan tradition
εἰς εἰδωλικὴν προσκύνησιν τῇ καθολικῇ Ἐκκλησίᾳ.
into idolatrous veneration to-the catholic Church
Ἀπερίληπτον γὰρ πάντη τὸ Θεῖον καὶ ἀπερίγραπτον,
incomprehensible for entirely the Divine and uncircumscribable
πρὸς ἑκάστου τῶν θεολόγων ὡμολόγηται.
by each of-the theologians has-been-confessed
Ὅτι μὲν ἀπερίληπτον τὸ Θεῖον καὶ ἀπερίγραπτον,
that indeed incomprehensible the Divine and uncircumscribable
προσθήσω δ' ὅτι καὶ ἄπειρον καὶ ἀόριστον καὶ
I-will-add but that also infinite and boundless and
ἀσχημάτιστον, καὶ ὅσα διὰ τῆς ἀφαιρέσεως τῶν
shapeless and whatever through the removal of-the(-things)
ἅπερ οὐκ ἔστι, λέγεται παντί που δῆλον. Ποία δὲ
which not are is-said to-everyone somewhere clear what but
κοινωνία φωτὶ πρὸς σκότος, κἀνταῦθα ἔστι φράσαι ἢ
fellowship to-light with darkness here-too it-is to-say or
τίς συμφώνησις Χριστῷ πρὸς Βελίαλ; εἰκόσι τε ἱεραῖς
what agreement to-Christ with Belial for-images both holy
καὶ εἰδώλοις δαιμονίων; ἦ γὰρ ἂν ἐχρῆν
and for-idols of-demons truly for — it-would-have-been-needful
πρὸ τῶν αἰτιατῶν, τὰ αἴτια σέβειν καὶ προσκυνεῖν, τὸ
before the effects the causes to-revere and to-venerate the
δὴ λεγόμενον, τῇ Ἀστάρτῃ καὶ τῷ Χαμὼς βδελύγματι
indeed said — to-Astarte and — to-Chemosh abomination
Σιδονίων. Ἀπόλλωνί τε καὶ Διΐ καὶ Κρόνῳ, καὶ τοῖς
of-Sidonians to-Apollo both and to-Zeus and to-Cronus and the

ἄλλοις παντοδαποῖς θεοῖς τῶν Ἑλλήνων· οἳ κατὰ πλάνης
other manifold gods of-the pagans who by of-error
δαιμονικῆς ἄγνοιαν τὴν λατρείαν ἀπὸ τοῦ πεποιηκότος Θεοῦ
demonic ignorance the worship from the having-made God
ἐπὶ τὰ δημιουργήματα μεταθέμενοι, Ἐλάτρευσαν, τὸ δὴ
to the creations having-transferred worshiped the indeed
λεγόμενον, τῇ κτίσει παρὰ τὸν Κτίσαντα, εἰς ἓν βάραθρον
said the creation beyond the Creator into one pit
πολυθεΐας κατολισθήσαντες. Ἡμῖν δὲ εἷς Θεὸς ἐν Τριάδι
of-polytheism having-slipped-down to-us but one God in Trinity
προσκυνούμενος. Καὶ ὅσον μὲν κατὰ τὸ τῆς θεολογίας
venerated and as-far-as indeed according-to the of-the theology
δόγμα, οὐχ ὅτι περιγραφῆς ἢ καταλήψεως εἶδος ἐξευρίσκειν,
doctrine not that of-circumscription or comprehension form to-find
ἄπαγε· τοῦτο γὰρ τῆς Ἑλληνικῆς ἐπινοίας ἐφεύρεμα· ἀλλ'
away-with-it this for of-the pagan conception invention but
οὐδ' ὅτι ποτὲ ἔστιν ἴσμεν τὸ Θεῖον, ἢ ὅ τί πέρ ἐστιν,
not-even that ever is we-know the Divine or what — precisely it-is
ὡς αὐτὸ περὶ ἑαυτοῦ ἐπίσταται μόνον. Ἐπεὶ δὲ δι' ἄκραν
as it about itself knows alone since but because-of extreme
ἀγαθότητα εἰς ἀνθρωπείαν φύσιν ἐλήλυθε, γενόμενος καθ'
goodness into human nature he-has-come having-become like
ἡμᾶς ὁ εἷς τῆς Τριάδος· καὶ γέγονε τῶν ἀμίκτων μίξις,
us the one of-the Trinity and has-become of-the unmixable mixture
καὶ τῶν ἀκράτων κρᾶσις, ἤτοι τοῦ ἀπεριγράπτου πρὸς τὸ
and of-the unblendable blending that-is of-the uncircumscribable with the
περιγεγραμμένον· τοῦ ἀπείρου πρὸς τὸ πεπερασμένον· τοῦ
circumscribed of-the infinite with the finite of-the
ἀορίστου πρὸς τὸ διωρισμένον· τοῦ ἀσχηματίστου πρὸς
boundless with the bounded of-the shapeless with
τὸ εὐσχηματισμένον· ὃ καὶ παράδοξον· διὰ τοῦτο
the well-shaped which also marvelous because-of this

Χριστὸς εἰκονίζεται, καὶ ὁ ἀόρατος ὁρᾶται· καὶ φυσικὴν
Christ is-imaged and the invisible is-seen and natural
περιγραφὴν καταδέχεται τοῦ σφετέρου σώματος, ὁ τῇ
circumscription accepts of-the his-own body the(-one) in-the
οἰκείᾳ θεότητι ὑπάρχων ἀπερίγραπτος· ἵν' ὅπερ ἐστὶν
own godhead being uncircumscribable so-that what he-is
ἀμφότερα τοῖς πράγμασιν ἀποδέδεικται· καὶ μὴ θάτερον
both by-the deeds has-been-shown and not the-one
τοῦθ' ὅπερ ἐστὶ διαψεύδηται, κατὰ τὰς σὰς ὑπολήψεις.
this which he-is be-belied according-to the your suppositions
Ἀλλ' οὐκ ἀπερίγραπτόν φασι μένειν τὸ Θεῖον ἐν τῷ τὸν 3
but not uncircumscribable they-say to-remain the Divine in the —
Χριστὸν περιγεγράφθαι σωματικῶς. Τῆς γὰρ θεότητος
Christ to-have-been-circumscribed bodily of-the for godhead
ἑνωθείσης τῇ σαρκὶ καθ' ὑποστατικὴν ἕνωσιν, ἀνάγκη
having-been-united to-the flesh by hypostatic union necessary
συμπεριγράφεσθαι ἐν τῇ τῆς σαρκὸς περιγραφῇ τὴν
to-be-circumscribed-with in the of-the flesh circumscription the
ἀπερίγραπτον θεότητα· οὐ γὰρ ἐνδέχεται θάτερον θατέρου
uncircumscribable godhead not for it-is-possible the-one from-the-other
χωρίζεσθαι· ἵνα μὴ ἐν τούτῳ ὁ τῆς ἀπευκτῆς διαιρέσεως
to-be-separated so-that not in this the of-the abominable division
ἐπεισαχθείη τρόπος.
might-be-introduced manner
Κατὰ τὸ φιλολόγημά σου, οὐδ' ἀπερίληπτον οἷόν τε
according-to the word-play your not-even incomprehensible possible —
μένειν ἐν τῷ περιειλῆφθαι· ἀλλὰ μὴν σπαργάνοις
to-remain in the to-have-been-comprehended but indeed in-swaddling-clothes
ἐνειλήθη· οὐδ' ἀθέατον ἐν τῷ τεθεᾶσθαι· ἀλλὰ μὴν ἐθεάθη·
he-was-wrapped nor unseeable in the to-have-been-seen but indeed he-was-seen
οὐδ' ἀψηλάφητον ἐν τῷ ἐψηλαφῆσθαι· ἀλλὰ μὴν ἐψηλαφήθη·
nor untouchable in the to-have-been-touched but indeed he-was-touched

οὐδ᾽ ἀπαθὲς ἐν τῷ πεπονθέναι· ἀλλὰ μὴν ἐσταυρώθη· οὐδ᾽
nor impassible in the to-have-suffered but indeed he-was-crucified nor
ἀθάνατον ἐν τῷ νενεκρῶσθαι· ἀλλὰ μὴν ἐθανατώθη.
immortal in the to-have-been-put-to-death but indeed he-was-put-to-death
Οὕτω τοίνυν νόει αὐτὸν μεμενηκέναι καὶ ἀπερίγραπτον
thus then understand him to-have-remained also uncircumscribable
ἐν τῷ περιγεγράφθαι. Ταῦτα γὰρ καὶ ὁμοίως ἰδιώματα·
in the to-have-been-circumscribed these for also alike properties
ἀλλὰ τὰ μὲν τῆς ἀπεριγράπτου φύσεως ἐν οἷς τὸ εἶναι
but the(-ones) indeed of-the uncircumscribable nature in which the to-be
Θεὸς γνωρίζεται· τὰ δὲ τῆς περιγεγραμμένης, ἐν οἷς
God is-known the(-ones) but of-the circumscribed in which
τὸ εἶναι ἄνθρωπος ὡμολόγηται. Καὶ οὐδ᾽ ἕτερον θάτερον
the to-be man has-been-confessed and neither other the-other
κεκαινοτόμηκεν, οὐδ᾽ ἀπεφοίτησε τοῦθ᾽ ὅπερ ἦν· οὐδὲ
has-innovated nor departed-from this which it-was nor
μετηλλοίωται ἐν ἑκατέρῳ ἑκάτερον· σύγχυσις γὰρ ἐν τούτῳ
has-been-altered in each each confusion for in this
ἣν πεφεύγαμεν· ἀλλ᾽ εἷς καὶ ὁ αὐτός ἐστι τῇ ὑποστάσει, τὸ
which we-have-fled but one and the same he-is in-the hypostasis the
ἀσύγχυτον τῶν ἰδίων φύσεων εἴσω τῶν οἰκείων ὅρων ἔχων.
unconfusedness of-the own natures within the own boundaries having
Τοίνυν ἢ δέξαι τὸ περίγραπτον, ἢ, εἰ μὴ τοῦτο, συνάνελε
therefore either accept the circumscribable or if not this abolish-with-it
τότε θεατὸν καὶ ἁπτὸν καὶ ληπτὸν, καὶ ὅσα τῆς αὐτῆς
then visible and tangible and graspable and whatever of-the same
συστοιχίας· κἀντεῦθεν ὀφθείης μὴ προσιέμενος ὅλως τὸ
series and-thence you-would-be-seen not admitting at-all the
σάρκα γενέσθαι τὸν Λόγον, ὃ τῶν ἄγαν ἀσεβημάτων.
flesh to-become the Word which of-the very impieties

Ψιλὸν ἄνθρωπον, φασὶ, τὸν Χριστὸν λέγεσθαι, τῶν 4
mere man they-say — Christ to-be-called of-the
ἀτοπωτάτων· ψιλοῦ δέ ἐστι τὸ περιγεγράφθαι· οὔκουν
most-absurd of-mere but it-is the to-have-been-circumscribed therefore-not
ψιλὸς ὁ Χριστὸς, ὅτι μηδὲ περιγέγραπται.
mere — Christ because not-even he-is-circumscribed
Ληρεῖν μοι δοκεῖς ἐπιπολὺ τὸ φιλαπερίγραπτόν σου
to-talk-nonsense to-me you-seem for-long the love-of-uncircumscribed your
προφέρων· καὶ μὴ νῷ νοῦν διακρουόμενος, τῷ
bringing-forward and not with-mind mind beating-off by-the
ἀποδεικτικῷ τὸν ἀναπόδεικτον· καὶ τῷ συλλογιστικῷ
demonstrative the undemonstrated and by-the syllogistic
τὸν ἀσυλλόγιστον· ἀλλὰ δεῦρο κἀντεῦθεν πανσθενὼς
the unsyllogized but come and-thence with-all-strength
ἐκραπίσθητι. Ψιλὸς μὲν οὖν ὁ Χριστὸς οὐ γεγένηται· μηδὲ
be-struck mere indeed then — Christ not has-become not-even
γὰρ τῶν τινα ἀνθρώπων ἀναλαβεῖν φαίη ἄν τις τῶν
for of-the any of-men to-have-taken-up would-say — anyone of-the
εὐσεβούντων· τὸν δὲ καθ' ὅλου, ἤτοι τὴν ὅλην φύσιν· ἀλλὰ
pious(-ones) the(-one) but in general that-is the whole nature but
μὴν τὴν ἐν ἀτόμῳ θεωρουμένην· πῶς γὰρ ἂν καὶ ὤπται;
indeed the(-one) in individual beheld how for — also was-be-seen
καθ' ἣν ὁρᾶταί τε καὶ σχηματίζεται· ψηλαφᾶταί τε καὶ
according-to which he-is-seen both and is-shaped is-touched both and
περιγράφεται· τρέφεταί τε καὶ ποτίζεται· ἀδρύνεταί τε καὶ
is-circumscribed is-fed both and is-given-drink grows-up both and
αὔξεται· κοπιᾷ τε καὶ ἀναπαύεται· ὑπνοῖ τε καὶ γρηγορεῖ·
increases labors both and rests sleeps both and wakes
πεινῇ τε καὶ διψῇ· δακρύει τε καὶ ἱδροῖ· καὶ πάντα ὅσα
hungers both and thirsts weeps both and sweats and all whatever
ἐνεργῶν ἐστι καὶ πάσχων ὁ καθ' ἕκαστα ἄνθρωπος.
acting is and suffering the in particulars man

Οὐκοῦν περίγραπτος ὁ Χριστὸς, κἂν οὐ ψιλὸς ἄνθρωπος·
therefore circumscribable — Christ even-if not mere man
οὐ γὰρ εἷς τῶν πολλῶν, ἀλλὰ Θεὸς ἀνθρωπισθείς· ἵνα μὴ
not for one of-the many but God become-man so-that not
οἱ ἐν δοκήσει καὶ φαντασίᾳ ἐληλυθέναι αὐτὸν λέγοντες,
those in seeming and phantasm to-have-come him saying
οἷς συνυπάγῃ καὐτὸς, δρομαίως εἰσπηδήσωσι τῶν
with-whom you-are-led-along you-too running may-leap-in of-the
αἱρέσεων δράκοντες. Καὶ ἀπερίγραπτος αὖθις, εἰ καὶ Θεὸς
heresies dragons and uncircumscribable again if even God
ἀνδρωθείς ἐστιν· ἵνα ὁ ἀπὸ Μαρίας τὴν ἀρχὴν αὐτὸν
become-man he-is so-that the from Mary the beginning him
εἰληφέναι φληναφήσας ἐκκρουσθείη ἀσεβηκὼς κύων.
to-have-taken having-babbled may-be-repelled having-been-impious dog
Τοῦτο γὰρ τὸ καινοπρεπὲς τῆς οἰκονομίας μυστήριον,
this for the novel of-the dispensation mystery
σύνοδον γενέσθαι θείας καὶ ἀνθρωπίνης φύσεως ἐν τῇ μιᾷ
concourse to-come-about of-divine and human nature in the one
τοῦ Λόγου ὑποστάσει· τὰς ἰδιότητας ἑκατέρων ἀλωβήτους
of-the Word hypostasis the properties of-each unharmed
διατηρούσῃ ἐν τῇ ἀδιαιρέτῳ ἑνώσει.
preserving in the undivided union
5 Ἀποφάσκεται, φασὶ, καθ' ὅλου παρὰ τῇ Γραφῇ τὸ
is-denied they-say in general by the Scripture the
ἀναστηλοῦν ὁμοιώματα· φησὶ γὰρ ὡδί που· Οὐ ποιήσεις
to-set-up likenesses it-says for thus somewhere not you-shall-make
σεαυτῷ εἴδωλον· οὐδὲ πᾶν ὁμοίωμα ὅσα ἐν τῷ οὐρανῷ
for-yourself idol nor any likeness whatever in the heaven
ἄνω· καὶ ὅσα ἐπὶ τῆς γῆς κάτω· καὶ ὅσα ἐν τοῖς
above and whatever on the earth below and whatever in the

ὕδασιν ὑποκάτω τῆς γῆς· οὐ προσκυνήσεις αὐτοῖς· οὐδ᾽ οὐ
waters beneath the earth not you-shall-venerate them nor not
μὴ λατρεύσεις αὐτοῖς· ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου.
— you-shall-worship them I for am Lord — God your
Πότε καὶ τίσι; Πρὸ χάριτος καὶ τοῖς ὑπὸ νόμον
when and to-whom before grace and to-those under law
φρουρουμένοις, καὶ εἰς ἑνὸς προσώπου μοναρχίαν
guarded and to of-one person monarchy
ἀναγομένοις· ἡνίκα Θεὸς οὔπω σαρκὶ πεφανέρωτο· καὶ
being-led-up when God not-yet in-flesh had-been-manifested and
τῶν θύραθεν εἰδώλων οἱ πάλαι ἀπετειχίζοντο· ἔδει
from-the outside idols those of-old were-walled-off it-was-needful
γὰρ τοῖς διὰ τοῦ προπάτορος Ἀβραὰμ εἰς ἔθνος
for for-those through the forefather Abraham into nation
ἐκλεκτὸν ἀναφοιτήσασι ταῦτα νενομοθετῆσθαι, φυγοῦσι τῆς
chosen having-come-up these-things to-have-been-legislated having-fled of-the
πολυθεΐας τὸ βάραθρον. Ὅτι εἷς ἐστι Θεὸς καὶ Κύριος τῶν
polytheism the pit that one is God and Lord of-the
ἁπάντων· ὃν εἶδεν οὐδεὶς ἄνθρωπος, οὐδὲ ἰδεῖν δύναται,
all whom saw no-one man nor to-see can
ὡς ὁ λόγος· οὗ οὐκ ἔστι σημασία, οὐχ ὁμοίωσις, οὐ
as the saying of-whom not is signification not likeness not
περιγραφὴ, οὐ περιορισμὸς, οὔ τί πως ἂν τῶν
circumscription not limitation nor anything somehow — of-the(-things)
ὅσα ὑπὸ κατάληψιν ἀνθρωπίνῃ διανοίᾳ ἔνεστι. Πρὸς ἃ
whatever under comprehension by-human mind is to which
ἐκεῖνο ἂν ῥηθείη εὖ μάλα τρανώτατα· Τίνι ὡμοιώσατε
that — might-be-said well very most-clearly to-whom did-you-liken
Κύριον; καὶ τίνι ὁμοιώματι ὡμοιώσατε αὐτόν; Παρεὼ
Lord and to-what likeness did-you-liken him I-omit
λέγειν ὅτι οὐχ ὅπερ ἂν πάντως ἐπὶ Θεοῦ ἀπείρητο,
to-say that not what — wholly in-the-case-of God had-been-forbidden

τοῦτο καὶ ἐπὶ τῶν ἄλλων. Ὁ γὰρ ἀποφήσας
this also in-the-case-of the others the(-one) for having-forbidden
πρότερον τῷ ἱεροφάντῃ Μωσεῖ, αὐτίκα προστέταχε·
before to-the hierophant Moses forthwith has-ordered
Ποιήσεις γὰρ, φησὶ, δύο Χερουβὶμ χρυσᾶ τορευτὰ, ἐπὶ τὰ
you-shall-make for he-says two Cherubim golden embossed on the
δύο κλίτη· καὶ ἔσονται οἱ δύο Χερουβὶμ ἐκτείνοντες τὰς
two sides and shall-be the two Cherubim stretching-out the
πτέρυγας ἐπάνωθεν, συσκιάζοντες ταῖς πτέρυξιν αὐτῶν
wings from-above overshadowing with-the wings their
ἐπὶ τοῦ ἱλαστηρίου· καὶ τὰ πρόσωπα αὐτῶν εἰς ἄλληλα,
over the mercy-seat and the faces their toward one-another
καὶ γνωσθήσομαί σοι ἐκεῖθεν, καὶ λαλήσω σοι. Καὶ ἐν τῷ
and I-will-be-known to-you from-there and I-will-speak to-you and in the
Λευϊτικῷ· Ποίησον σεαυτῷ ὄφιν, καὶ θὲς αὐτὸν ἐπὶ σημείου,
Leviticus make for-yourself serpent and set it on sign
καὶ ἔσται ἐὰν δάκῃ ὄφις ἄνθρωπον, πᾶς ὁ δεδηγμένος
and it-shall-be if bites serpent man every the(-one) bitten
ἰδὼν αὐτὸν ζήσεται. Καὶ ἐποίησε Μωσῆς ὄφιν χαλκοῦν,
having-seen it shall-live and made Moses serpent bronze
καὶ ἔστησεν αὐτὸν ἐπὶ σημείου· καὶ ἐγένετο, ὅταν ἔδακεν
and set it on sign and it-happened when bit
ὄφις ἄνθρωπον, καὶ ἐπέβλεψεν ἐπὶ τὸν ὄφιν τὸν χαλκοῦν,
serpent man and he-looked to the serpent the bronze
ἔζη. Ὁρᾷς ὅ τι τὸ Γράμμα· καίπερ τῶν ἀγγέλων
he-lived you-see what — the Scripture although the angels
μὴ ἐν πάχει τῷ καθ' ἡμᾶς ὄντων· τοῦ τε ὄφεως
not in thickness the according-to us being of-the and serpent
ἀπεμφαίνοντος τῇ θηριομορφίᾳ, ὃς εἰς τύπον Χριστοῦ
incongruous in-the beast-shape which as type of-Christ
αἰνιγματωδῶς παρελήφθη. Εἰ δὲ δι' ὄφεως, ἠνιγματίσθαι

πρὸς τὸ τοὺς δακνομένους ἰᾶσθαι πάλαι συγκατήρχετο
toward the the bitten to-heal of-old condescended
ὁ Θεὸς, πῶς οὐχὶ φίλον αὐτῷ καὶ ἐφαρμόζον τῆς
— God how not dear to-him and fitting of-the
σωματικῆς ἰδέας, ἐξ ὅτου ἄνθρωπος ἐγεγόνει, τὴν εἰκόνα
bodily form from when man he-had-become the image
ἀναστηλοῦσθαι; καὶ εἰ ὁ θηρόμορφος τύπος ὁρώμενος μόνον
to-be-set-up and if the beast-shaped type being-seen only
τοὺς δεδηγμένους ἰᾶτο, πόσον οὐχ ὁ ἱερότυπος χαρακτὴρ
the bitten healed how-much not the holy-figured portrait
τοῦ Χριστοῦ βλεπόμενος ἁγιάσειε τοὺς τεθεαμένους;
— of-Christ being-looked-at would-sanctify those having-beheld
Εἰς ἀντίφασιν ἄρα ἐναντιολογίας ἑαυτῷ Θεὸς περιπίπτει. 6
into contradiction then of-contrary-speech with-himself God falls
Ὦ τῆς μανίας! πρὸς μὲν γὰρ τὸ ἐν πᾶσι τοῖς οὖσι
O the madness with indeed for the in all the being-things
καθ' ὁτιοῦν τῶν κτισμάτων, ἡλίου λέγω, σελήνης τε καὶ
by anything of-the creatures of-sun I-say of-moon both and
ἀστέρων, ἢ ὅ τι τύχοι τῶν ἄλλων ὁμοιοῦν τὸ Θεῖον,
stars or what — might-happen of-the others to-liken the Divine
ἐφ' οἷς ἡ τῶν εἰδώλων μορφοποιία, ἡ ἀπόφασις· πρὸς δὲ
in which the of-the idols form-making the denial toward but
τὸ δι' ἐκτυπωμάτων καὶ μορφωμάτων τινῶν συμβολικῶς
the through imprints and figures some symbolically
ἀνάγεσθαι τὸν Ἰσραὴλ, ἐπὶ τὴν τοῦ ἑνὸς Θεοῦ, ὡς ἐφικτὸν,
to-be-led-up — Israel to the of-the one God as attainable
θεωρίαν καὶ λατρείαν, ἡ κατάφασις· ἢ οὐχὶ καὶ αὐτὸ τό τε
contemplation and worship the affirmation or not also itself the and
παράδειγμα τῆς ὅλης σκηνῆς προχάραγμον ἐναργές ἐστι τῆς
pattern of-the whole tent outline clear is of-the

ἐν πνεύματι λατρείας, σκιαγραφούμενόν πως συμβολικαῖς
in spirit worship being-shadow-sketched somehow by-symbolic
θεωρίαις τῷ μεγάλῳ Μωσεῖ πρὸς τοῦ τῶν ὅλων Θεοῦ;
contemplations to-the great Moses by the of-the all God
7 Ὑποβιβάζειν οὖν ἐστι, φασὶ, καὶ κατασμικρύνειν ὑλικαῖς
to-lower then it-is they-say and to-belittle by-material
ὑποτυπώσεσιν ἐξεικονίζειν τὸν Χριστόν. Μεινάτω γὰρ ἐν
outlines to-image — Christ let-him-remain for in
τῇ κατὰ νοῦν θεωρίᾳ ὡς ἂν μᾶλλον μορφοῦται ἐν
the according-to mind contemplation so-that — rather he-is-formed in
ἡμῖν ἐνιέντος τοῦ ἁγίου Πνεύματος θείαν τινὰ μόρφωσιν
us infusing the holy Spirit divine some formation
δι' ἁγιασμοῦ καὶ δικαιοσύνης. Φησὶ γὰρ τὸ Γράμμα·
through sanctification and righteousness says for the Scripture
Τί ὠφελεῖ γλυπτὸν ὅτι ἔγλυψαν αὐτό; ἔπλασαν αὐτὸ
what profits carved-thing that they-carved it they-molded it
χώνευμα, φαντασίαν ψευδῆ, ὅτι πέποιθεν ὁ πλάστης
cast-image fantasy false that has-trusted the molder
ἐπὶ τὸ πλάσμα αὐτοῦ. Καὶ αὖθις, Ὅτι ξύλον ἐστὶν ἐκ
in the molded-thing his and again that wood it-is from
τοῦ δρυμοῦ ἐκκοπτόμενον ἔργον τέκτονος, καὶ χώνευμα,
the thicket being-cut work of-carpenter and cast-image
ἀργύρου καὶ χρυσοῦ.
of-silver and of-gold
Φιλεῖς μὴ ἀπέχεσθαι ταυτολογίας, μᾶλλον δὲ τυφλότητος,
you-like not to-abstain from-tautology rather but from-blindness
κακούργως ἐκ τούτου εἰς τοῦτο μεταβαίνων. Ὅπερ εἰσφέρεις
maliciously from this to that passing-over what you-bring-in
ἀπεοικὸς εἶναι καὶ χαμαίζηλον, τοῦτο θεοπρεπὲς καὶ ὑψηλὸν
unbefitting to-be and lowly this God-befitting and lofty
τῇ τοῦ μυστηρίου μεγαλειότητι. Ἢ γὰρ οὐχὶ δόξα τοῖς
by-the of-the mystery greatness or for not glory for-the

ὑψηλοῖς ἐστι τὸ ταπεινοῦσθαι, ὡς ἀτιμία τοῖς ταπεινοῖς τὸ
lofty is the to-be-humbled as dishonor for-the lowly the
ὑψοῦσθαι; Οὕτω τῷ Χριστῷ μένοντι ἐν τῇ οἰκείᾳ περιωπῇ
to-be-exalted so — to-Christ remaining in the own height
τῆς θεότητος, δεδοξασμένῳ τῇ ἀΰλῳ ἀπεριγραφίᾳ, τιμή
of-the godhead glorified in-the immaterial non-circumscription honor
ἐστιν ἡ τῆς πρὸς ἡμᾶς αὐτοῦ πανυψίστου συγκαταβάσεως
is the of-the toward us his most-high condescension
ἔνυλος περιγραφία τοῦ οἰκείου σώματος. Ὕλη γὰρ γέγονεν,
material circumscription of-the own body matter for has-become
εἴτ' οὖν σὰρξ, ὁ τὸ πᾶν συστησάμενος. Καὶ οὐκ
or then flesh the(-one) the all having-constituted and not
ἀπαναίνεται ὃ κατεδέξατο γενέσθαι καὶ λέγεσθαι· ὕλης
he-refuses what he-consented to-become and to-be-called of-matter
δὲ ἔργον, τὸ ὑλικῶς περιγράφεσθαι. Τὸ γὰρ ἐπὶ τῇ τοῦ
but work the materially to-be-circumscribed the for in the of-the
νοῦ θεωρίᾳ ἀρκεῖσθαι, ὡς ἐν ἡμῖν ἀναμορφουμένου δι'
mind contemplation to-be-content as in us being-re-formed through
ἁγίου Πνεύματος· εἴη ἂν ἐπὶ τοῦ βαπτίσματος.
holy Spirit would-be — in-the-case-of the baptism
Καὶ οὐ περὶ τοῦ ἐξεικονίζεσθαι ἐν ἡμῖν τὸν χαρακτῆρα τῆς
and not about the to-be-imaged in us the character of-the
ὑποστάσεως τοῦ Θεοῦ καὶ Πατρὸς, ὁ λόγος, ἀλλὰ περὶ τοῦ
hypostasis — of-God and Father the discourse but about the
ἐξεικονίζεσθαι ἡμᾶς τὴν ἀνθρωπόμορφον εἰκόνα ἐν ὑλικοῖς
to-be-imaged us the man-shaped image in material
χρώμασιν. Εἰ γὰρ ἀρκεῖ ἡ κατὰ νοῦν μόνον θεωρία,
colors if for suffices the according-to mind only contemplation
ἤρκει ἂν ἐν τοσούτῳ αὐτὸν χωρῆσαι πρὸς ἡμᾶς·
would-have-sufficed — in so-much him to-have-advanced toward us
καὶ πάλιν ἡ δόκησις πεφενάκικεν ἐν οἷς δέδρακε μὴ
and again the seeming has-deceived in what he-has-done not

εἰς σῶμα ἐληλυθὼς, καὶ τοῖς καθ' ἡμᾶς ἀδιαβλήτοις
into body having-come and to-the according-to us blameless
πάθεσιν. Ἀλλ' ἴθι πόῤῥω. Σὰρξ ἐν σαρκὶ πέπονθε, βέβρωκέ
passions but go further flesh in flesh has-suffered has-eaten
τε καὶ πέπωκεν ὡσαύτως· καὶ τἄλλα ὅσα ὁ καθεῖς
both and has-drunk likewise also the-rest whatever the individual
ἄνθρωπος, πλὴν ἁμαρτίας. Καὶ οὕτω τιμὴ τὸ δοκοῦν
man except sin and so honor the(-thing) seeming
κατὰ σὲ εἶναι ἄτιμον τῷ παντίμῳ καὶ ὑπερδοξασμίῳ
according-to you to-be dishonorable to-the all-honored and super-glorified
Λόγῳ. Ἀποίσειν δὲ καθ' ἡμῶν Γραφικὰς φωνὰς ἀμαθῶς
Word to-bring but against us Scriptural voices ignorantly
παύσειας ἂν ἄρα τὰς κατὰ τῶν Ἑλλήνων ἐπὶ
you-would-cease — then the(-voices) against the pagans on
ταῖς εἰδωλικαῖς ἀνατυπώσεσι τῇ τοῦ Χριστοῦ εἰκόνι
the idolatrous figurings to-the — of-Christ image
προσάπτων; Τίς γὰρ ἂν νοῦν ἔχων οὐ συνίει τὴν
attaching who for — mind having not would-understand the
διαφορὰν εἰδώλου τε καὶ εἰκόνος· ὅτι τὸ μὲν σκότος, τὸ δὲ
difference of-idol both and of-image that the indeed darkness the but
φῶς· καὶ τὸ μὲν πλάνον, τὸ δὲ ἀπλανές· καὶ τὸ μὲν τῆς
light and the indeed deceiving the but undeceiving and the indeed of-the
πολυθεΐας, τὸ δὲ τῆς οἰκονομίας ἐναργέστατον γνώρισμα;
polytheism the but of-the dispensation most-clear token
8 Πῶς οὐ γέγραπται, φασὶν, ὡς ἐπὶ τοῦ σταυροῦ, τοῦτο
how not is-it-written they-say as about the cross this
καὶ ἐπὶ τῆς εἰκόνος; Ὁ Λόγος γὰρ, φησὶν, ὁ τοῦ
also about the image the Word for he-says the of-the
σταυροῦ τοῖς μὲν ἀπολλυμένοις, μωρία ἐστὶ, τοῖς δὲ
cross to-those indeed perishing folly is to-those but
σωζομένοις ἡμῖν, δύναμις Θεοῦ ἐστι. Καὶ, Ἐμοὶ, φησὶ,
being-saved us power of-God it-is and to-me he-says

μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ·
not may-it-be to-boast if not in the cross — of-Christ
ὅσα τε ἄλλα πρὸς τοῖς λογίοις ὑμνεῖται. Ποῦ δὴ
whatever and other-things besides the oracles are-sung where indeed
τοιοῦτο καὶ παρὰ τίνων εἰρημένον περὶ εἰκόνος δείξειας;
such also by whom said about image could-you-show
Εἰπὲ, ὦ πίσυνε, πότερον ἀνύμνησε, καὶ ποτέρῳ
tell O trusting(-one) which hymned and in-which
ἐγκαυχᾶται; σταυρῷ, ἢ τύπῳ σταυροῦ; δηλονότι τῷ
boasts cross or type of-cross clearly in-the
προτέρῳ· καὶ οὐκ ἀπέσχισται τῇ δόξῃ τὸ παράγωγον
former and not has-been-split-off in-the glory the derivative
τοῦ πρωτοτύπου· ὡς οὐδὲ φωτὸς σκιά. Καὶ γὰρ ὅσα
from-the prototype as not-even from-light shadow and for whatever
κατὰ τοῦ αἰτίου λέγεται, ταῦτα καὶ κατὰ τοῦ αἰτιατοῦ
about the cause is-said these-things also about the effect
πάντως ῥηθήσεται· ἀλλὰ τὰ μὲν κυρίως, ὅτι καὶ
certainly will-be-said but the(-ones) indeed properly because also
φύσει· τὰ δὲ οὐ κυρίως, ὅτι καὶ ὁμωνύμως. Οὕτω
by-nature the(-ones) but not properly because also homonymously so
καὶ Χριστοῦ κηρυσσομένου ἀπ᾽ ἀρχῆς, ὁ τῆς εἰκόνος
also of-Christ being-preached from beginning the of-the image
λόγος συνείπετο σχετικῶς· καὶ τοσαύτας ἂν ἔχῃς περὶ
word followed relatively and as-many — you-may-have about
εἰκόνος Χριστοῦ τὰς ἀποδείξεις, ὅσαιπερ ἂν περὶ αὐτοῦ
image of-Christ the proofs as-many-as — about himself
Χριστοῦ εἴρηνται. Ἐπεὶ καὶ ἐπὶ τύπου σταυροῦ,
Christ have-been-said since also in-the-case-of type of-cross
ὅσαιπερ ἂν περὶ αὐτοῦ σταυροῦ πέφανται. Οὐδαμοῦ δὲ περὶ
as-many-as — about itself cross have-appeared nowhere but about
τύπου καὶ εἰκόνος, εἰ καὶ ταὐτὸν ἀμφότερα τῇ σημασίᾳ·
type and image if even the-same both in-the signification

ἀσυλλόγιστον γὰρ τὸ ζητεῖν ὡς συνόντων ἅμα δυνάμει ἐν
illogical for the to-seek as being-together at-once in-potency in
τοῖς καθ' ἡμᾶς τῶν αἰτιατῶν τοῖς αἰτίοις. Ἢ οὐχὶ πᾶσα
the according-to us of-the effects with-the causes or not every
εἰκὼν σφραγίς τίς ἐστι καὶ ἐκτύπωσις ἐν ἑαυτῇ φέρουσα
image seal some is and impression in itself bearing
τὸ κύριον εἶδος τοῦθ' ὅπερ καὶ λέγεται; Σταυρόν τε γὰρ
the proper form this which also it-is-called cross both for
λέγομεν τὸ ἀποσφράγισμα, ὅτι καὶ σταυρός· καὶ οὐ δύο
we-call the seal-impression because also cross and not two
σταυροί· καὶ Χριστὸν τὴν τοῦ Χριστοῦ εἰκόνα, ὅτι καὶ
crosses and Christ the — of-Christ image because also
Χριστὸς καὶ οὐ δύο Χριστοί· ὡς οὐκ ἐγχωροῦντος θάτερον
Christ and not two Christs as not being-possible the-one
θατέρου κεχωρίσθαι τῇ ὁμωνυμίᾳ, ἀλλὰ τῇ φύσει·
from-the-other to-have-been-separated in-the homonymy but in-the nature
καθά φησιν ὁ θεῖος Βασίλειος, ὅτι βασιλεὺς λέγεται καὶ
just-as says the divine Basil that king is-called also
ἡ τοῦ βασιλέως εἰκών, καὶ οὐ δύο βασιλεῖς· οὔτε γὰρ τὸ
the of-the king image and not two kings neither for the
κράτος σχίζεται, οὔτε ἡ δόξα μερίζεται· καὶ εἰκότως ἡ τῆς
power is-split nor the glory is-divided and fittingly the of-the
εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει, ὡς καὶ ἔμπαλιν.
image honor to the prototype passes as also conversely

Many images do not make many Christs, as three persons do not make three gods. The Eucharist is not an image but the body and blood themselves, and Christ's command to do this in remembrance forbids no other memorial. The image is called Christ by homonymy, as the tomb Josiah saw was called the man of God, and the godhead is in it only relatively. Sight equals hearing, so the image is venerable with the Gospel. The cross's figure ranks below Christ's image, as the cross below Christ, and Scripture calls Christ's likeness an image, never an idol.

Συμβαίνει, φασὶ, πολλοὺς Κυρίους λέγεσθαι καὶ Χριστοὺς 9
it-follows they-say many Lords to-be-called and Christs
κατὰ τὸ διάφορον τῆς εἰκόνος· κἀντεῦθεν ἡ πολυθεΐα·
according-to the difference of-the image and-thence the polytheism
ἡμῖν δὲ εἷς Κύριος καὶ Θεὸς ὁ προσκυνούμενος.
to-us but one Lord and God the(-one) venerated
Τί οὖν; Οὐ Κύριος ὁ Πατήρ; οὐ Κύριος ὁ Υἱός; οὐ
what then not Lord the Father not Lord the Son not
Κύριος τὸ Πνεῦμα; ὡς καὶ Θεὸς καὶ Θεὸς καὶ Θεός; πάνυ
Lord the Spirit as also God and God and God very
γε. Ἆρ' οὖν καὶ τρεῖς θεοὶ καὶ κύριοι; Ἀσεβές. Εἷς γὰρ
indeed is-it then also three gods and lords impious one for
Θεὸς καὶ Κύριος. Κἂν ταῖς εἰκόσι τοῦτο ὑποληπτέον, ὦ
God and Lord even-in the images this must-be-supposed O
'τᾶν· ὅτι εἰ καὶ τῷ ἀριθμῷ πολλοὶ οἱ χαρακτῆρες, ἀλλ'
good-sir that if even in-the number many the portraits but
εἷς Χριστὸς, καὶ οὐ πολλοί· ὥσπερ καὶ Κύριος ὁ αὐτὸς
one Christ and not many just-as also Lord the same
καὶ οὐ διάφοροι· συνάπτει γὰρ, ὡς ἐκεῖ τῇ φύσει οὐκ
and not different joins for as there by-the nature not
ἐώσῃ μερισθῆναι εἰς τρία πρόσωπα τὸ μοναδικὸν τῆς
allowing to-be-divided into three persons the single of-the

Θεός καὶ Κύριος φωνῆς, οὕτως ἐνταῦθα τοὺς πολλοὺς
God and Lord word so here the many
τύπους εἰς ἓν εἶδος, ἡ τῆς ὁμωνυμίας ἐπίκλησις, κἀκ
figures into one form the of-the homonymy designation and-from
τούτου ἕωλόν σου τὸ ἠλίθιον πρόβλημα.
this stale your the silly problem
Δεδόσθω, φασὶν, εἰκονίζεσθαι τὸν Χριστὸν, ἀλλ' ὡς
let-it-be-granted they-say to-be-imaged — Christ but as
ἡ θεοπαράδοτος ἱερολογία· Τοῦτο γὰρ, φησὶ, ποιεῖτε
the God-delivered sacred-rite this for be-says do
εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὡς οὐκ ἐγχωροῦντος δηλονότι
for the my remembrance as not being-possible clearly
ἄλλως εἰκονίζεσθαι, ἢ ἀναμιμνήσκεσθαι· ἐφ' ᾧ καὶ τὸ
otherwise to-be-imaged or to-be-remembered for which also the
εἰκονίζεσθαι ἀληθὲς, καὶ τὸ εἰκονίζειν ἱερόν.
to-be-imaged true and the to-image sacred
Ὅτι μαχόμενος ἑαυτῷ ὤφθης, προσηκάμενος
that fighting with-yourself you-were-seen having-admitted
περιγράφεσθαι τὸν Χριστὸν, μὴ πρότερον τοῦτο
to-be-circumscribed — Christ not before this
καταδεχόμενος, ἤρκει σοι εἰς περιτροπήν. Ἀλλ' ἐπεὶ
accepting sufficed for-you for refutation but since
πᾶσάν σου πρότασιν ἀνεπιτίμητον ἐᾷν οὐ καλὸν, ἴωμεν
every your proposition unrebuked to-let not good let-us-go
ἐπὶ τὴν κατὰ λόγον ἀντιπαράστασιν. Πῶς φὴς αὐτὰ τὰ
to the by reason counter-presentation how say-you very the
ἱερολογηθέντα καὶ ὑμνηθέντα πρὸς τοῦ ἱερέως; Εἰκόνα, ἢ
consecrated-things and hymned by the priest image or
ἀλήθειαν; Εἰ μὲν εἰκόνα, φεῦ τῆς ἀτοπίας! ἐκ βλασφήμου
truth if indeed image alas for-the absurdity from blasphemous
εἰς βλάσφημον· ὥσπερ οἱ ἐς ἰλύν τινα ἐμπαρέντες, καὶ
to blasphemous like those into mud some having-been-stuck-in and

τῇ μεταβάσει θάτερον τοῖν ποδοῖν ἐπὶ τοὐλισθηρότερον
in-the crossing the-one of-the two-feet on the-more-slippery
καταπίπτοντες. Ἵνα γάρ σοι ἐφαρμόσῃ ἡ πρότασις,
falling so-that for for-you may-fit the proposition
ἀθεΐαν εἵλου κατακριθῆναι· εἰ δὲ ἀλήθειαν, ὥσπερ οὖν καὶ
godlessness you-chose to-be-condemned-for if but truth as indeed also
ἔνεστιν· αὐτὸ γὰρ σῶμα καὶ αἷμα Χριστοῦ ὡμολόγηται ἐν
it-is itself for body and blood of-Christ is-confessed in
τῇ μεταλήψει τοῖς πιστοῖς, κατὰ τὴν θεόλεκτον φωνήν·
the partaking to-the faithful according-to the God-spoken voice
τί τὰ τῆς ἀληθείας μυστήρια εἰς τύπους μεταλαμβάνων
why the of-the truth mysteries into types transferring
φληναφεῖς; Εἰς δὲ τὴν ἀνάμνησίν μου τοῦτο ποιεῖτε,
do-you-babble for but the remembrance my this do
εἰρηκὼς ὁ λόγος, καὶ πάνυ· συγκεφαλαίωσις γὰρ τῆς ὅλης
having-said the word also very summary for of-the whole
οἰκονομίας τόδε τὸ μυστήριον· ἐκ τοῦ κυριωτέρου μέρους
dispensation this the mystery from the more-principal part
συνεκδοχικῶς τὸ ὅλον ἐπισημηνάμενος. Οὐ γὰρ ἐπεὶ εἶπε,
synecdochically the whole having-signified not for since he-said
Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν, τοῖς πᾶσιν ἔξεστιν,
this do for the my remembrance to-the all it-is-permitted
ἀλλ' οἷς τὸ ἱερουργεῖν. Ἀλλὰ μὴν οὐδὲ ἀπεῖρξεν ἡμᾶς
but to-whom the to-officiate but indeed not-even he-excluded us
τῆς τῶν ἄλλων μυστηρίων τελετῆς. Φαινοίμεθα γὰρ καὶ
from-the of-the other mysteries celebration we-would-appear for also
τῶν Γενεθλίων καὶ τῶν Θεοφανίων ὑπομνήματα τελοῦντες·
of-the Nativity and of-the Theophany memorials celebrating
καὶ νῦν μὲν κλάδους αἴρομεν εἰς τύπον τῆς ἐπὶ πώλου
and now indeed branches we-raise for figure of-the on colt
καθέδρας· νῦν δὲ ἀσπαζόμεθα ἀλλήλους εἰς σημεῖον τῆς
sitting now but we-greet one-another for sign of-the

ἀναστάσεως. Ἐῶ λέγειν τῆς ἐπὶ τὸ ἱερὸν ἀναβάσεως
resurrection I-omit to-speak-of the on the temple going-up
καὶ πείρας τοῦ πειράζοντος, καθ' ἣν ἡμεῖς τὴν
and trial of-the tempter according-to which we the
τεσσαρακονθήμερον ἄγομεν ἐγκράτειαν, ἄλλα τε τινὰ τῆς
forty-day we-keep fast other and some of-the
αὐτῆς ἐχόμενα θεωρίας. Ταῦτα πάντα ποιεῖτε εἰς τὴν ἐμὴν
same holding contemplation these-things all do for the my
ἀνάμνησιν, διὰ τοῦ κεφαλαιωδεστέρου μυστηρίου κατὰ
remembrance through the more-summary mystery according-to
τὸ σιωπώμενον, ὡς ἔφθην εἰπὼν, προστεταχέναι τὸν
the unspoken as I-anticipated saying to-have-commanded the
Λόγον ὑποληπτέον. Ἢ οὐχὶ καὶ ἐπὶ τῆς ἐν πίνακι
Word must-be-supposed or not also in-the-case-of the on panel
σωματοειδοῦς αὐτοῦ θέας τὸ αὐτὸ ἔστιν ὑπολαμβάνειν,
bodily his sight the same it-is to-suppose
ὥσπερ καὶ ἐπὶ τῶν θεοχαράκτων Εὐαγγελίων; Οὔ
just-as also in-the-case-of the God-engraved Gospels not
τί που γὰρ εἴρηκε χαράττεσθαι τὸν συντετμημένον λόγον·
at-all surely for he-said to-be-engraved the shortened word
ἀλλὰ μὴν χαράττεται ἀπὸ τῶν ἀποστόλων μέχρι τοῦ δεῦρο·
but indeed it-is-engraved from the apostles until the hither
καὶ ὃ ἐνταῦθα διὰ χάρτου καὶ μέλανος, οὕτως ἐπὶ
and what here through paper and ink so in-the-case-of
τῆς εἰκόνος, διὰ ποικίλων χρωμάτων, ἢ ὅ τι τύχοι
the image through various colors or what — might-happen
ἂν ἄλλων ὑλῶν ἐγχαράττεται. Ἃ γὰρ, φησὶ, ὁ λόγος
— of-other materials is-engraved what for says the word
τῆς ἱστορίας παρίστησι, ταῦτα γραφικὴ σιωπῶσα διὰ
of-the history presents these-things painting being-silent through
μιμήσεως δείκνυσιν, ὁ μέγας Βασίλειος. Ὡς ἐντεῦθεν μὴ
imitation shows the great Basil so-that thence not

μόνον τὰ ἐν αἰσθήσει, ἁφῇ τε καὶ χροιᾷ ὑποπίπτοντα
only the(-things) in perception to-touch both and to-color falling
ἀναγράφειν διδάσκεσθαι ἡμᾶς, ἀλλ᾽ ὁτιοῦν καὶ κατὰ διάνοιαν
to-paint to-be-taught us but anything also by thought
περιλαμβανόμενον διὰ τῆς τοῦ νοῦ θεωρίας. Διὰ τοῦτο
comprehended through the of-the mind contemplation because-of this
παρείληπται ἐξ ἀρχῆς οὐ μόνον ἀγγέλους ἀνιστορεῖν, ἀλλὰ
it-has-been-received from beginning not only angels to-depict but
καὶ τὸ μέλλον κριτήριον ὑπογράφειν, δεξιάς τε αὖ πάλιν
also the coming judgment to-draw right both again anew
στάσεις καὶ εὐωνύμους, σκυθρωποτέραν τε καὶ ἐνδοξοτέραν
stations and left gloomier both and more-glorious
ἰδέαν. Ἓν γὰρ μόνον πάντη ἀπερίγραπτον τὸ Θεῖον· οὗ
form one for only entirely uncircumscribable the Divine of-which
οὐκ ἔστι περίνοιά τις καταληπτική, οὐδ᾽ αὖ σημασία
not is comprehension any comprehensive nor again signification
ἀκουστική, ὡς ἔχει φύσεως· πρὸς οἷς καὶ ἀποφάσκεται ἡ
audible as it-has of-nature with which also is-denied the
περιγραφή. Τὰ δ᾽ ἄλλα πάντα ἐπεὶ περιορίζεται διὰ
circumscription the but other-things all since are-bounded through
νοῦ καταλαμβανόμενα, καὶ περιγράφεται δι᾽ ἀκοῆς, ἤτοι
mind being-comprehended and are-circumscribed through hearing or
ὄψεως· ἀμφοτέρωθεν γὰρ ταὐτὸν τῇ ἰσότητι.
sight on-both-sides for the-same in-the equality
Τί τοίνυν τὸ δεδειγμένον; εἰκὼν Χριστοῦ, ἢ Χριστὸς, καὶ οὐ 11
what then the shown image of-Christ or Christ and not
τὰ δύο; οὐ γὰρ ταὐτὸν σκιὰ καὶ ἀλήθεια. Καὶ πῶς λεκτέον
the two not for the-same shadow and truth and how must-it-be-said
ἐν ἑκατέρῳ ἑκάτερα, ἢ θάτερον; καὶ τὸ ἄτοπον προφανές.
in each each or the-one and the absurdity evident

Οὐκ ἄν ποτε μανείη ἄν τις τοσοῦτον, σκιὰν καὶ
not — ever would-be-mad — anyone so-much shadow and
ἀλήθειαν, φύσιν καὶ θέσιν, ἀρχέτυπον καὶ παράγωγον,
truth nature and convention archetype and derivative
αἴτιόν τε καὶ αἰτιατὸν, ταὐτὸν ὑπολαμβάνειν κατ' οὐσίαν,
cause both and effect the-same to-suppose in substance
καὶ λέγειν ἐν ἑκατέρῳ ἑκάτερα, ἢ θάτερον· ὡς ἂν Χριστὸν
and to-say in each each or the-one so-as — Christ
καὶ αὐτοῦ τὴν εἰκόνα ἓν κατὰ τοῦτο ὑπολήψεσθαι ἢ
and his the image one in this to-suppose or
φράζειν· ἀλλὰ ἄλλο Χριστὸν, καὶ ἄλλο εἰκόνα Χριστοῦ κατὰ
to-declare but other Christ and other image of-Christ in
φύσιν· εἰ καὶ ἡ ταυτότης κατὰ τὸ ἀμερὲς τῆς κλήσεως.
nature if even the sameness in the indivisible of-the name
Καὶ ὅτε μὲν πρὸς τὴν τῆς εἰκόνος φύσιν ἀπίδοι, οὐ
and when indeed toward the of-the image nature one-should-look not
Χριστὸν μόνον, ἀλλ' οὐδὲ εἰκόνα Χριστοῦ εἴποι ἂν τὸ
Christ only but not-even image of-Christ he-would-call — the
ὁρώμενον. Ἔστι γὰρ τυχὸν ξύλον, ἢ χρῶμα, ἢ χρυσὸς, ἢ
seen it-is for perhaps wood or paint or gold or
ἄργυρος, ἤ τι τῶν διαφόρων ὑλῶν ὃ καὶ λέγεται. Ὅτε
silver or some of-the various materials which also it-is-called when
δὲ πρὸς τὴν δι' ἐκτυπώματος ἐξομοίωσιν τοῦ ἀρχετύπου,
but toward the through impression likeness of-the archetype
καὶ Χριστὸν καὶ Χριστοῦ. Ἀλλὰ Χριστὸν μὲν κατὰ τὸ
both Christ and of-Christ but Christ indeed by the
ὁμώνυμον· Χριστοῦ δὲ κατὰ τὸ πρός τι. Τὸ γὰρ
homonymous of-Christ but by the toward something the for
παράγωγον, ἀρχετύπου παράγωγον· ὥσπερ καὶ τοὔνομα
derivative of-archetype derivative just-as also the-name
ὀνομαζομένου ὄνομα. Ἀπόδειξις. Φησὶ γὰρ, Ἰωσίας ἦρε τοὺς
of-the(-one)-named name proof says for Josiah lifted the

ὀφθαλμοὺς αὐτοῦ ἐπὶ τὸν τάφον τοῦ ἀνθρώπου τοῦ Θεοῦ,
eyes his to the tomb of-the man — of-God
τοῦ λαλήσαντος τοὺς λόγους τούτους. Καὶ εἶπε· Τί τὸ
the(-one) having-spoken the words these and said what the
σκόπελον ἐκεῖνο ὃ ἐγὼ ὁρῶ; καὶ εἶπον αὐτῷ οἱ ἄνδρες
monument that which I see and said to-him the men
τῆς πόλεως· Ὁ ἄνθρωπος τοῦ Θεοῦ ἐστιν ὁ ἐξελεληλυθὼς
of-the city the man — of-God it-is the(-one) having-come-out
ἐξ Ἰούδα. Καὶ εἶπεν· Ἄφετε αὐτόν. Ἀνὴρ μὴ κινησάτω
from Judah and he-said leave him man not let-move
τὰ ὀστᾶ αὐτοῦ. Συνίης τί τὸ Γράμμα; ἄνθρωπον
the bones his do-you-understand what the Scripture man
τοῦ Θεοῦ τὸν σκόπελον ὠνόμακεν, ἤτοι τὸν τάφον, ἀπὸ
— of-God the monument has-named that-is the tomb from
τοῦ ἐν αὐτῷ κειμένου σώματος, τὸ ἀνάστημα κεκληκώς.
the in it lying body the structure having-called
Πόσον οὐχὶ μᾶλλον ἀπὸ τῆς εἰκόνος τὸ πρωτότυπον
how-much not more from the image the prototype
ὀνομαστέον; Καὶ πάλιν ὁ Θεὸς πρὸς τὸν Μωσῆν· Ποίησόν
must-be-named and again — God to — Moses make
μοι δύο Χερουβὶμ χρυσᾶ, οὐκ, εἰκόνας Χερουβίμ. Βλέπων
for-me two Cherubim golden not images of-Cherubim seeing
τοίνυν κἀνταῦθα ὡς τῆς ὁμωνυμίας τὸ παράγωγον ὡς
then here-too how by-the homonymy the derivative as
κύριον κέκληται, παῦσαι ἐπιχειρῶν τὰ ἀσύνετα, καὶ
proper has-been-called cease attempting the unintelligible-things and
κατασυλλογίζεσθαι πειρώμενος τὰ ἀσυλλόγιστα.
to-out-syllogize trying the unsyllogizable-things
Πῶς φὴς, Ἐν τῇ εἰκόνι, τοῦ Χριστοῦ ἡ θεότης; φυσικῶς; 12
how say-you in the image — of-Christ the godhead naturally
ἐπεὶ συμπροσκυνεῖται· ἢ οὔ; καὶ εἰ μὲν ἐν αὐτῇ, ἡ
since it-is-co-venerated or not and if indeed in it the

περιγραφή· εἰ δὲ μὴ, τὸ προσκυνεῖν ἀσεβές· οὐ γὰρ ὃ
circumscription if but not the to-venerate impious not for what
λέγεται, ἀλλ' ὃ μὴ ἔστι προσκυνεῖται. Χριστοῦ δὲ ἡ
is-said but what not is is-venerated of-Christ but the
σὰρξ ἀεὶ τῇ θεότητι συμπροσκυνεῖται, ὅτι συνήνωται
flesh always with-the godhead is-co-venerated because it-is-united
ἀδιασπάστως· ἀλλ' οὐχ ἡ εἰκών.
inseparably but not the image
Ἐπὶ τῶν αὐτῶν ἀτοπημάτων εἶ. Οὐκ ὄντος γὰρ ἑνὸς
on the same absurdities you-are not being for one
ἀρχετύπου τε καὶ εἰκόνος, ὅτι τὸ μὲν ἀλήθεια, τὸ δὲ σκιά·
archetype both and of-image that the indeed truth the but shadow
τί ὡς σοφόν σου τὸ ἐπιχείρημα; Ἐπὶ μὲν γὰρ τοῦ Κυριακοῦ
what as wise your the argument on indeed for the of-the-Lord
σώματος τῇ φυσικῇ συναφείᾳ ἡ θεότης συναπτικῶς καὶ
body by-the natural conjunction the godhead conjointly both
προσκυνεῖται καὶ δοξάζεται, καίπερ τῆς σαρκὸς περιγραφῇ
is-venerated and is-glorified although the flesh to-circumscription
ὑποπιπτούσης. Πῶς γὰρ οὖ, ἁπτῆς καὶ ληπτῆς καὶ ὁρατῆς
falling how for not tangible and graspable and visible
ὑπαρχούσης, καὶ οὐδαμῶς τῆς ἀπεριλήπτου φύσεως διὰ
being and in-no-way the incomprehensible nature because-of
τὴν ἕνωσιν ὑφισταμένης τὰ ἀνοίκεια; ἐπεὶ, ὡς εἴρηται, καὶ
the union undergoing the unfitting-things since as has-been-said also
πέπονθεν ἡ σὰρξ μὴ συμπεπονθυίας τῆς ἀπαθοῦς οὐσίας.
has-suffered the flesh not having-co-suffered the impassible substance
Ἐπὶ δὲ τῆς εἰκόνος, οὐδαμῶς. Ὅπου γὰρ οὐδὲ αὐτῆς τῆς
on but of-the image in-no-way where for not-even itself the
ἀναστηλωθείσης σαρκὸς ἡ φύσις πάρεστιν, ἀλλ' ἢ μόνον
set-up flesh the nature is-present but only alone
ἡ σχέσις, πολλοῦ γε ἂν εἴποις τὴν ἀπερίγραπτον
the relation much indeed — you-would-say the uncircumscribable

θεότητα, ἢ τοσοῦτον καὶ ἔνεστι καὶ προσκυνεῖται ἐν
godhead or so-much both is-present and is-venerated in
τῇ εἰκόνι, ὅσῳπερ ἐν σκιᾷ τῆς ἑνωθείσης αὐτῇ σαρκὸς
the image as-much-as in shadow of-the united to-it flesh
ὑπάρχει. Ποῦ γάρ ἐστιν, οὗ οὐκ ἔστιν ἡ θεότης, ἔν
it-is where for is where not is the godhead in
τε λογικοῖς καὶ ἀλόγοις· ἐν ἐμψύχοις καὶ ἀψύχοις; ἀλλὰ
both rational and irrational in animate and inanimate but
κατὰ ἀναλογίας τῶν ὑποδεχομένων φύσεων πρός τὸ
according-to proportion of-the receiving natures toward the
μᾶλλον καὶ ἧττον. Οὕτω καὶ ἐν εἰκόνι εἶναι τὴν θεότητα
more and less so also in image to-be the godhead
εἰπών τις οὐκ ἂν ἁμάρτῃ τοῦ δέοντος· ἐπεὶ καὶ
having-said someone not — would-miss of-the needful since also
ἐπὶ τύπου σταυροῦ τῶν τε ἄλλων θείων ἀναθημάτων,
in-the-case-of type of-cross of-the and other divine offerings
ἀλλ᾽ οὐ φυσικῇ ἑνώσει· οὐ γὰρ σὰρξ ἡ θεωθεῖσα· σχετικῇ
but not by-natural union not for flesh the deified by-relative
δὲ μεταλήψει, ὅτι χάριτι καὶ τιμῇ τὰ μετέχοντα.
but participation because by-grace and honor the(-things) partaking
Καὶ τί φασίν· Οὐκ ἐσθλὸν δεδεῖχθαι τὴν εἰκόνα καὶ 13
and what they-say not good to-have-been-shown the image and
μὴ προσκυνεῖσθαι; λυσιτελὲς γὰρ μᾶλλον τὸ μὲν διὰ
not to-be-venerated profitable for rather the indeed through
τῆς ἐξ ἴσου ἀκοῆς πρὸς τὰ πράγματα ἀναδρομήν τε
the from equal hearing toward the realities recourse both
καὶ ἀνάμνησιν· τὸ δὲ διὰ τὸ φυγεῖν τὸ χαμερπὲς τῆς
and remembrance the but because-of the to-flee the groveling of-the
ὑλογραφίας· Πνεῦμα γὰρ ὁ Θεὸς καὶ τοὺς προσκυνοῦντας
matter-painting Spirit for — God and those venerating
αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν, ὁ λόγος.
him in spirit and truth must venerate the word

Εἰ ἴσην ἀκοῆς τὴν δι᾽ ὄψεως ἐνάργειαν ὁμολογεῖς, ὅπερ
if equal to-hearing the through sight vividness you-confess which
ἀληθὲς, δέξαιο τὸ ἰσόῤῥοπον· καὶ μεινάτω τὸ ἱερὸν
true you-would-accept the equal-weight and let-remain the holy
Εὐαγγέλιον ἐπὶ μόνης τῆς ἀκοῆς, μὴ προσκυνούμενον, καίπερ
Gospel on only the hearing not venerated although
ὂν σεπτόν. Ἀλλ᾽ εἰ τοῦτο ἠλίθιον, πῶς οὐ τὸ πρότερον; ἐξ
being august but if this silly how not the former from
ἴσου γάρ σοι κέκριται· ἢ πῶς οὐ προσκυνητὸν ἑκάτερον,
equal for by-you it-has-been-judged or how not venerable each
ἀλλ᾽ αὐτὸ ἑαυτῷ μαχόμενον διὰ τῆς ὠφελείας τε καὶ
but it with-itself fighting through the benefit both and
βλάβης; Καὶ οὕτω κἂν ἐν εἰκόνι, κἂν ἐν Εὐαγγελίῳ, κἂν ἐν
harm and so even-if in image even-if in Gospel even-if in
σταυρῷ, κἂν ἐπ᾽ ἄλλῳ τινὶ τῶν ἀφιερωθέντων, ἐν πνεύματι
cross even-if on other some of-the consecrated(-things) in spirit
καὶ ἀληθείᾳ Θεὸς προσκυνούμενος φαίνεται· ὑπεξαιρουμένων
and truth God being-venerated appears being-removed
τῶν ὑλῶν διὰ τῆς τοῦ νοῦ ἐπὶ Θεὸν ἀνανήξεως. Οὐ
the materials through the of-the mind to God ascent not
γάρ τοι πρὸς αὐτὰς ἐναπομένοι ἂν, ὅτι μηδὲ πέποιθεν,
for indeed toward them would-remain — because not-even it-has-trusted
ὡς ἡ τῶν εἰδωλολατρούντων πλάνη· δι᾽ αὐτῶν τε ἐπὶ
as the of-the idolaters error through them and to
τὰ πρωτότυπα ἄνεισιν, ὡς ἡ τῶν ὀρθοδόξων πίστις.
the prototypes it-goes-up as the of-the orthodox faith

14 Τὸ γράμμα προσκυνητέον, φασὶν, ἢ τὴν εἰκόνα, ἧς ἡ
the inscription must-be-venerated they-say or the image of-which the
κλῆσις ἐπιγέγραπται; καὶ πάντως θάτερον; καὶ οὐ τὰ
name is-inscribed and certainly the-one and not the
δύο; καὶ ποῖον;
two and which

Ὅμοιόν τι ἐρωτᾷν ἐστιν, ὡς εἰ προσκυνεῖν δέον τὸ
like something to-ask it-is as if to-venerate needful the
Εὐαγγέλιον, ἢ τὴν ἐπ᾽ αὐτῷ κλῆσιν; τὸν τύπον τοῦ σταυροῦ,
